ἀνίστημι *excito*, *facio ut aliquis surgat*. Ag. 1361 ἐπεὶ δυσμηχανῶ λόγοισι τὸν θανόντ' ἀνιστάναι πάλιν. [Suppl. 322 male M Ἀργεῖον ἀνστήσας στόλον, sed adscr. ἀντήσας.] ‖ ἀνίσταμαι (cum aoristo ἀνέστην et futuro ἀναστήσομαι) *exsurgo*. Eum. 133 ἄνιστω, μή σε νικάτω πόνος. 141 εὕδεις; ἄνιστω. Pers. 201 ἐπεὶ δ' ἀνέστην. Ag. 569 τὸ μήποτ' αὖθις μηδ' ἀναστῆναι μέλειν. Eum. 124 οὐκ ἀναστήσει (ἀναστήσῃ M) τάχος; De adversario assurgente Pr. 354 Τυφῶνα θοῦρον, πᾶσιν ὃς ἀνέστη θεοῖς. Sic Wunderlichius p. 27 pro ἀντέστη, sed perversa structura verborum ὃς ἀνέστη συρίζων φόνον πᾶσιν θεοῖς σμερδναῖσι γαμφηλαῖσι. Dativi πᾶσιν θεοῖς ab ἀνέστη pendent. Ita Homerus Il. 23, 634 πὺξ μὲν ἐνίκησα Κλυτομήδεα, Ἤνοπος υἱόν, | Ἀγκαῖον δὲ πάλῃ Πλευρώνιον, ὅς μοι ἀνέστη. quae ubi affert Aristides vol. 2 p. 503 in libro quodam Florentino pari errore ἀντέστη scriptum est.

ἀνιστορέω *interrogo*. Pr. 963 πεύσει γὰρ οὐδὲν ὧν ἀνιστορεῖς ἐμέ.

ἀνίσχω *exorior, exardesco*. Ag. 93 ἄλλη δ' ἄλλοθεν οὐρανομήκης λαμπὰς ἀνίσχει.

ἄνοια *dementia*. Pr. 1079 εἰς ἀπέραντον δίκτυον ἄτης ἐμπλεχθήσεσθ' ὑπ' ἀνοίας. [Sept. 402 καὶ νύκτα ταύτην ἣν λέγεις ἐπ' ἀσπίδος ἄστροισι μαρμαίρουσαν οὐρανοῦ κυρεῖν τάχ' ἂν γένοιτο μάντις ἡ ἄνοιά τινι. Sic M, quod ἡ ἀνοία scripsit corrector, de quo schol. παροξυτόνως Ἀττικῶς ἀντὶ τοῦ ἄνοια· διὰ δὲ τὸ μέτρον ἐξέτεινεν, quae annotatio, ut aliae plures, haud dubie ab ipso scripta est διορθωτῇ postquam in textu ἀνοία correxerat, non animadversa veteris interpolatoris fraude, qui quum non intellexisset subiectum verbi esse νύξ, quod verbis καὶ νύκτα ταύτην ἣν λέγεις continetur metri causa per attractionem dictis pro καὶ ἡ νὺξ αὕτη ἣν λέγεις, inepte scripsit ἡ ἄνοια (vel ἀνοία) addiditque τινί, ab hoc loco prorsus alienum. Ego, ut sensus postulabat, restitui τάχ' ἂν γένοιτο μάντις οἷα πείσεται. In scholio antiquiore, nulla habita illius ἡ ἀνοία τινί ratione, haec recte sic explicantur, τάχα προμαντεύεται τῷ φοροῦντι ὅτι χωρήσει ὑπὸ νύκτα.

ἀνοίγω *aperio*. Ag. 604 πύλας ἀνοῖξαι. Ch. 878 ἀλλ' ἀνοίξατε ὅπως τάχιστα. Improprie *edo*. Suppl. 321 καὶ τοῦδ' ἄνοιγε τοὔνομ' ἀφθόνῳ λόγῳ. Aliorum exempla in Thes. s. h. v. sunt allata.

ἀνοιμώζω *eiulo*. Pers. 465 Ξέρξης δ' ἀνῴμωξεν κακῶν ὁρῶν βάθος.

ἀνοίμωκτος *indefletus*. Ch. 433 ἔτλης ἀνοίμωκτον ἄνδρα θάψαι. 561 τῆς ἀνοιμώκτου τύχης.

ἄνολβος *infelix*. Eum. 550 δίκαιος ὢν οὐκ ἄνολβος ἔσται.

ἀνολολύζω, quod plerumque *eiulo* vel *lamentor* significat, interdum de laeto dicitur clamore: v. Thes. vol. 1, 2 p. 832. Sic Ag. 587 ἀνωλόλυξα μὲν πάλαι χαρᾶς ὕπο.

[**ἀνόμοια** scriptura vitiosa. V. γαιονόμος.]

ἄνομος *nefastus*. Ag. 147 θυσίαν ἑτέραν, ἄνομόν τιν', ἄδαιτον. ‖ *modus qui non est modus, non canendus*. Ag. 1142 ἀμφὶ δ' αὑτᾶς θροεῖς νόμον ἄνομον.

ἀνόσιος *impius*, *nefarius*. Sept. 551 ἀνοσίοις κομπάσμασιν. 566 ἀνοσίων ἀνδρῶν. 611 ἀνοσίοισι συμμιγεὶς θρασυστόμοισιν ἀνδράσι. De bestiis Suppl. 762 ματαίων ἀνοσίων τε κνωδάλων.

ἀνοτοτύζω *eiulo*. Ag. 1074 τί ταῦτ' ἀνωτότυξας ἀμφὶ Λοξίου; Alterum huius verbi exemplum est Eur. Hel. 371.

ἄνους *demens*. Pr. 987 οὐ γὰρ σὺ παῖς τε κἄτι τοῦδ' ἀνούστερος;

[**ἀνούτατος** *non saucius*. Per ἄτρωτος ἐκ χειρός exp. Hesychius ex Aeschyli Lycurgo, quod ad glossam quae excidit ἀν' οὖς ἔχων: ἄνω τὸ οὖς ἔχων referendum videri dictum est ad fr. 125.]

ἀνταῖος *infestus*. Ch. 587 κνωδάλων ἀνταίων βροτοῖσι. Pers. 604 ἐμοὶ γὰρ ἤδη πάντα μὲν φόβου πλέα ἐν ὄμμασιν τἀνταῖα φαίνεται θεῶν. Schol. ἐναντία φαίνεται τὰ θεῶν, οἷον ἀντικειμένους ἡμῖν ὁρῶ τοὺς θεούς. In M ἐν ὄμμασι τ' ἀνταῖα (i. e. τἀνταῖα), unde in apogr. nonnullis ὄμμασί τ' ἀνταῖα. ‖ *supplex*. Hesychius ἀνταία: ἐναντία, ἱκέσιος. Αἰσχύλος Σεμέλῃ (fr. 236).

ἀντακούω *vicissim audio*. Eum. 198 ἀντάκουσον ἐν μέρει.

ἀνταλαλάζω *clamorem reddo*. Pers. 390 ὄρθιον δ' ἅμα ἀντηλάλαξε νησιώτιδος πέτρας ἠχώ.

ἀνταλλάσσομαι *permutando mihi comparo*. Ch. 133 ἄνδρα δ' ἀντηλλάξατο Αἴγισθον.

ἀνταμείβομαι *rependo.* Pr. 223 ὁ τῶν θεῶν τύραννος — κακαῖσι ποιναῖς ταῖσδέ μ' ἀντημείψατο. Sic ex apogr. pro ἐξημείψατο, quod est in M. Sept. 1049 παθὼν κακῶς κακοῖσιν ἀντημείβετο. Ch. 123 πῶς δ' οὐ τὸν ἐχθρὸν ἀνταμείβεσθαι κακοῖς;

ἀντάω *occurro alicui rei, incido in aliquid.* Suppl. 37 ἀγρίας ἁλὸς ἀντήσαντες. 323 Ἀργεῖον ἀντήσας (ἀνστήσας M in textu) στόλον.

ἀνταποκτείνω *vicissim interficio.* Ch. 121 ὅστις ἀνταποκτενεῖ. [274 τρόπον τὸν αὐτὸν ἀνταποκτεῖναι λέγων.]

ἀντειπεῖν *contradicere.* Pr. 51 κοὐδὲν ἀντειπεῖν ἔχω. Futurum Ag. 539 τεθνάναι δ' οὐκέτ' ἀντερῶ θεοῖς.

ἀντέλλω. V. ἀνατέλλω.

ἀντεράω *vicissim amo.* Ag. 544 τῶν ἀντερώντων ἱμέρῳ πεπληγμένος.

ἀντέχω *resisto, impetum sustineo.* Pers. 413 τὰ πρῶτα — ῥεῦμα Περσικοῦ στρατοῦ ἀντεῖχεν.

ἀντήλιος *apricus.* Ag. 519 σεμνοί τε θᾶκοι δαίμονές τ' ἀντήλιοι. In aliorum scriptorum codicibus interdum ἀνθήλιος scriptum contra regulam grammaticorum, de qua v. Lobeck. ad Soph. Ai. p. 295 ed. tertiae.

ἀντήνωρ *qui pro homine est.* Ag. 442 ψῆγμα δυσδάκρυτον ἀντήνορος σποδοῦ.

ἀντηρέτης *adversarius.* Sept. 283 ἀντηρέτας ἐχθροῖσι. 595 τούτῳ σοφούς τε κἀγαθοὺς ἀντηρέτας πέμπειν ἐπαινῶ. 993 δορός γε τῷδ' ἀντηρέτας.

ἀντί *pro*, i. e. loco alicuius. Sept. 264 τοῦτ' ἀντ' ἐκείνων τοὔπος αἱροῦμαι σέθεν. Ag. 434 ἀντὶ δὲ φωτῶν τεύχη καὶ σποδὸς εἰς ἑκάστου δόμους ἀφικνεῖται. Ch. 342 ἀντὶ δὲ θρήνων ἐπιτυμβιδίων παιὰν — κομίσειεν. Ag. 1277 βωμοῦ πατρῴου δ' ἄντ' ἐπίξηνον μένει. Sic recte Auratus pro ἀντεπίξηνον vel ἀντεπίξενον, etsi contra regulam grammaticorum, qui anastrophen praepositionis ἀντί non admittunt. Sept. 1050 ἀλλ' εἰς ἅπαντας ἀνθ' ἑνὸς τόδ' ἔργον ἦν. Ag. 1061 σὺ δ' ἀντὶ φωνῆς φράζε καρβάνῳ χερί. Post ἄλλος Pr. 467 οὔτις ἄλλος ἀντ' ἐμοῦ. Ag. 1268 ἄλλην τιν' ἄτης (sic Stanleius pro ἄτην) ἀντ' ἐμοῦ πλουτίζετε. ‖ *in alicuius rei gratiam vel poenam.* Pr. 31 ἀνθ' ὧν ἀτερπῆ τήνδε φρουρήσεις πέτραν. Ag. 1545 ἄχαριν χάριν ἀντ' ἔργων μεγάλων ἀδίκως ἐπικρᾶναι. 1560 ὄνειδος ἥκει τόδ' ἀντ' ὀνείδους. 1318 1319 ὅταν γυνὴ γυναικὸς ἀντ' ἐμοῦ θάνῃ, ἀνήρ τε δυσδάμαρτος ἀντ' ἀνδρὸς πέσῃ. Ch. 309 ἀντὶ μὲν ἐχθρᾶς γλώσσης ἐχθρὰ γλῶσσα τελείσθω. 312 ἀντὶ δὲ πληγῆς φονίας φονίαν πληγὴν τινέτω. 520 τὰ πάντα γάρ τις ἐκχέας ἀνθ' αἵματος ἑνός, μάτην ὁ μόχθος. Suppl. 966 ἀντ' ἀγαθῶν ἀγαθοῖσι βρύοις.

ἀντιάζω *precibus adeo.* Ag. 1555 ἀλλ' Ἰφιγένειά νιν ἀσπασίως — ἀντιάσασα.

ἀντιβαίνω *oppono me.* Pr. 234 καὶ τοῖσιν οὐδεὶς ἀντέβαινε πλὴν ἐμοῦ.

Ἀντιγόνη n. pr. Sept. 862.

ἀντιδέχομαι *vicissim accipio.* Ch. 916 ὁ τῖμος ὅντιν' ἀντεδεξάμην.

ἀντιδίδωμι *reddo, vicissim do.* Ch. 94 ἀντιδοῦναι τοῖσι πέμπουσιν τάδε στέφη. 498 τὰς ὁμοίας ἀντίδος βλάβας (λαβὰς Canterus) λαβεῖν. Eum. 264 ἀλλ' ἀντιδοῦναι δεῖ σ' ἀπὸ ζῶντος ῥοφεῖν ἐρυθρὸν ἐκ μελέων πέλανον. 983 χάρματα δ' ἀντιδιδοῖεν κοινοφιλεῖ διανοίᾳ.

ἀντίδικος *adversarius.* Ag. 41 Πριάμου μέγας ἀντίδικος, Μενέλαος ἄναξ.

ἀντίδουλος *servi locum tenens.* Ch. 135 κἀγὼ μὲν ἀντίδουλος. Fr. 194 ἵππων ὄνων τ' ὀχεῖα καὶ ταύρων γονὰς δοὺς ἀντίδουλα.

ἀντίδουπος *resonans.* Pers. 121 καὶ τὸ Κισσίων πόλισμ' ἀντίδουπον ᾄσεται. 1040 1048 1066 βόα νυν ἀντίδουπά μοι.

ἀντικαταθνήσκω *vicissim morior.* Ch. 144 τοὺς κτανόντας ἀντικατθανεῖν δίκην, post quae verba versum excidisse, cuius sensus fuerit τίνοντας ὧν ἔδρασαν ἀξίαν κακῶν, animadvertit Weilius. In marg. M adscriptum γρ. ἀντικατακτανεῖν.

ἀντίκεντρον *stimuli vicem gerens.* Eum. 136 ἄλγησον ἧπαρ ἐνδίκοις ὀνείδεσιν, τοῖς σώφροσιν γὰρ ἀντίκεντρα γίγνεται. Adiective Eum. 466 ἄλγη προφωνῶν ἀντίκεντρα καρδίᾳ.

Ἀντίκλεια n. pr. *Anticlea*, Ulixis mater, fr. 172.

ἄντικρυς *diserte, sine dubitatione.* Ch. 192 ἐγὼ δ' ὅπως μὲν ἄντικρυς τάδ' αἰνέσω.

ἀντίκτονος *vicissim interficiens.* Eum. 464 ἔκτεινα τὴν τεκοῦσαν — ἀντικτόνοις ποιναῖσι φιλτάτου πατρός.

ἀντιλάμπω *splendorem s. fulgorem reflecto.* Ag. 294 οἱ δ' ἀντέλαμψαν καὶ παρήγγειλαν πρόσω.

Ἀντίλοχος n. pr. Fr. 133.

ἀντίμισθος *mercedem exhibens, compensans.* Suppl. 270 μνήμην ποτ' ἀντίμισθον ηὗρετ' ἐν λιταῖς.

ἀντίμοιρος. V. ἰσόμοιρος.

ἀντίμολπος. Ag. 17 ὕπνου τόδ' ἀντίμολπον ἐντέμνων ἄκος, i. e. *remedium, quod canendo somnum pellit.*

ἀντινικάω *victoriam vicissim reporto.* Ch. 499 εἴπερ κρατηθείς γ' ἀντινικῆσαι θέλεις.

ἀντιόομαι *repugno.* Suppl. 389 τίς ἂν τοῖσδ' ἀντιωθῆναι θέλοι;

ἀντίος *contrarius.* Ag. 499 τὸν ἀντίον δὲ τοῖσδ' ἀποστέργω λόγον. ‖ ἀντία λέγω *respondeo.* Pers. 694 σέβομαι δ' ἀντία λέξαι. 701 δίεμαι δ' ἀντία φάσθαι.

ἀντίπαις i. q. ἰσόπαις *infanti similis.* Eum. 38 δείσασα γὰρ γραῦς οὐδέν, ἀντίπαις μὲν οὖν.

ἀντίπαλος *adversarius.* Pr. 527 μηδάμ' ὁ πάντα νέμων θεῖτ' ἐμᾷ γνώμᾳ κράτος ἀντίπαλον Ζεύς. Sept. 417 τὸν ἀμὸν νυν ἀντίπαλον εὐτυχεῖν θεοὶ δοῖεν. Fr. eleg. 447 δάϊος ἀντιπάλοις.

ἀντιπενθής *aequaliter lugens.* Eum. 782 812 ἰὸν ἀντιπενθῆ μεθεῖσα καρδίας (καρδία apogr.) σταλαγμόν. Schol. ἰσοπενθῆ, ὅμοια δρῶντα οἷς πέπονθα. In apogr. pluribus in ἀντιπαθῆ corruptum.

ἀντίπνους *ex contrario flans.* Pr. 1087 σκιρτᾷ δ' ἀνέμων πνεύματα πάντων εἰς ἄλληλα στάσιν ἀντίπνουν ἀποδεικνύμενα, ubi deleto ἀποδεικνύμενα, pro quo Aeschylus aut aliud verbum ab consonante incipiens aut nullum posuerat, ἀντίπνοον scripsi cum Kiehlio. Ag. 146 μή τινας ἀντιπνόους Δαναοῖς χρονίας ἐχενηίδας αὔρας (sic scripsi pro ἀπλοίας) τεύξῃ.

ἀντίποινα, τά, *poena, ultio.* Eum. 268 ἀντίποιν' ὡς τίνῃς ματροφόνου δύας. Sic Salmasius et Casaubonus pro ἀντιποίνους τείνης (ει, i. e. τείνεις, superscripto ab διορθωτῇ, τίνῃς apogr.) μητροφόνας δύας, quod est in M. Pers. 476 ὧν ἀντίποινα παῖς ἐμὸς πράξειν δοκῶν.

ἀντίπορος *e regione positus.* De locis trans mare sitis Pers. 67 εἰς ἀντίπορον γείτονα χώραν. Suppl. 544 διχῇ δ' ἀντίπορον γαῖαν ἐν αἴσᾳ διατέμνουσα.

[**ἀντιπυργόω** *ex adverso exstruo.* Eum. 691 in versibus interpolatoris πόλιν νεόπτολιν τήνδ' ὑψίπυργον ἀντεπύργωσαν τότε.]

ἀντιρρέπω *aequo pondere sum.* Ag. 574 νικᾷ τὸ κέρδος, πῆμα δ' οὐκ ἀντιρρέπει. Sic ἀντίρροπος pro ἰσόρροπος dicitur.

ἀντισηκόω *ex aequo libro, pari pondere sum.* Pers. 437 ὡς τοῖσδε καὶ δὶς ἀντισηκῶσαι ῥοπῇ.

ἀντισπάω *in contrariam partem traho, retineo.* Pr. 337 ὁρμώμενον δὲ μηδαμῶς μ' ἀντισπάσῃς.

[**ἀντιστάτης** *adversarius.* Sept. 520 in versu interpolatoris εἰκὸς δὲ πράξειν ἄνδρας ὧδ' ἀντιστάτας. ἀντηρέτας apogr. nonnulla, ut dixerat Aeschylus locis s. h. v. indicatis.]

[**ἀντίστροφος** Suppl. 882 vitiose pro ἀμφίστροφος, quod v.]

ἀντιτάσσω *oppono.* Sept. 395 τίν' ἀντιτάξεις τῷδε; 408 τῶνδ' ἀντιτάξω προστάτην πυλωμάτων. 621 ἐχθρόξενον πυλωρὸν ἀντιτάξομεν.

ἀντιτίνομαι *vicissim poenas sumo, rependo.* Ag. 1263 ἐπεύχεται ἐμῆς ἀγωγῆς ἀντιτίσασθαι φόνον. ἀντιτίσεσθαι Blomfieldus.

ἀντίτολμος *contra audens, adversarius.* Eum. 553 τὸν ἀντίτολμον — παρβάταν.

ἀντίτυπος Sept. 521 τὸν Διὸς ἀντίτυπον ἔχοντ' — ἐν σάκει δέμας, *eum qui in scuto expressam habet figuram eius, qui Iovis est adversarius.* Sic haec interpretatur Wellauerus eodemque sensu ἀντίτυπον per ἐναντίον exp. schol., quod probari posset, nisi in stropha (v. 481) creticus responderet εὐτυχεῖν. Quambrem τὸν Ζηνὸς ἀντίπνουν conieci, quod aptum Typhoëo epitheton est.

ἀντίφερνος *dotis vicem gerens.* Ag. 406 ἄγουσά τ' ἀντίφερνον Ἰλίῳ φθοράν.

ἀντίφονος *qui pro caede rependitur, caedem compensans.* Sept. 893 ἀντιφόνων ἐκ θανάτων ἀραί *mortis mutua caede effectae.* Eum. 981 ἀντιφόνους ἄτας *mutuarnm caedium calamitates.*

ἀντιφωνέω *contra sono, respondeo.* Eum. 303 οὐδ' ἀντιφωνεῖς, ἀλλ' ἀποπτύεις λόγους;

Ἀντίων *Antion.* Schol. Piud. Pyth. 2, 39 τὸν Ἰξίονα οἱ μὲν Ἀντίονος γενεαλογοῦσιν, ὡς Αἰσχύλος (fr. 88). Aeschylum Ἀντίονος παῖ dixisse coniecit Hermannus.

ἀντλέω *exantlo.* Pr. 375 ἐγὼ δὲ τὴν παροῦσαν ἀντλήσω τύχην. Ch. 748 τὰ μὲν γὰρ ἄλλα τλημόνως ἤντλουν κακά.

ἄντλος *sentina.* Figurate Sept. 796 πόλις — ἄντλον οὐκ ἐδέξατο. Schol. ἀλληγορεῖ πάλιν καὶ λέγει ὅτι πολλῶν προσβαλόντων τῇ πόλει οὐδεὶς εἰς αὐτὴν εἰσέπεσεν.

ἀντολή (pro ἀνατολή) *ortus.* Pr. 457 ἀντολὰς ἐγὼ ἄστρων ἔδειξα τάς τε δυσκρίτους δύσεις. Ag. 1180. Pr. 707 ἡλίου πρὸς ἀντολάς. 791 πρὸς ἀντολὰς φλογῶπας ἡλιοστιβεῖς. [Ag. 7 versu spurio ἀστέρας, ὅταν φθίνωσιν ἀντολάς τε τῶν.]

[**ἀντόνειρος.** V. ἰσόνειρος.]

ἄντρον *antrum.* Eum. 193 λέοντος ἄντρον αἱματορρόφου. Fr. 252 ἔδυ δ' ἐς ἄντρον ἀσχέδωρος ὥς. Pr. 133 κτύπου γὰρ ἀχὼ χάλυβος διῇξεν ἄντρων μυχόν. 301 πετρηρεφῆ αὐτόκτιτ' ἄντρα. 352 τὸν γηγενῆ τε Κιλικίων οἰκήτορα ἄντρων. 453 ἄντρων ἐν μυχοῖς ἀνηλίοις.

ἀνύτω et ἀνύω [quae cum spiritu aspero ab Atticis pronuntiata fuisse docent grammatici in Thes. indicati vol. 1, 2 p. 1060, nec dubitandum quin haec scriptura Atticis veteribus ubique sit restituenda, de quo dixi in Lexico Sophocleo p. 46 a. Rara huius scripturae exempla sunt in codicibus tragicorum. Apud Aeschylum ἥνυσεν scriptum est in M Pers. 721 726 744 748, ἤνυσεν sine spiritu 766. Formis huius verbi utitur Aeschylus aoristo activo ἤνυσα et medio ἠνυσάμην, imperfecto passivo ἠνυτόμην.] *perficio.* De via permeanda Pers. 721 πῶς δὲ καὶ στρατὸς τοσόσδε πεζὸς ἤνυσεν περᾶν; 745 πολλὴν κέλευθον ἥνυσεν πολλῷ στρατῷ. In reliquis locis perficiendi s. consequendi significatione dictum est. Pers. 726 ὡς ἰδεῖν τέλος πάρεστιν οἷον ἥνυσεν κακόν. 744 παῖς δ' ἐμὸς τάδ' οὐ κατειδὼς ἥνυσεν νέῳ θράσει. 766 ἄλλος δ' ἐκείνου παῖς τόδ' ἔργον ἥνυσε. Ag. 935 τί δ' ἂν δοκεῖ σοι Πρίαμος, εἰ τάδ' ἤνυσεν; ‖ Passivum Ag. 1159 ἀμφὶ σὰς ἀϊόνας τάλαιν' ἠνυτόμαν τροφαῖς. ‖ ἀνύομαι *paro mihi, assequor.* Pr. 700 τὴν πρίν γε χρείαν ἠνύσασθ' ἐμοῦ πάρα κούφως. Ch. 858 πῶς ἴσον εἰποῦσ' ἀνύσωμαι;

ἄνω *supra, loco altiore.* Suppl. 99 ἥμενον (μνῆμον Hermannus) ἄνω φρόνημα, ubi ἀμφρόνημα pr. M, sed in ἄν̄ (i. e. ἄνω) φρόνημα mutatum. Ch. 124 a κῆρυξ μέγιστε τῶν ἄνω τε καὶ κάτω. 834 τοῖς θ' ὑπὸ χθονὸς φίλοις τοῖς τ' ἄνω. Fr. 155 οὑμὸς δὲ πότμος οὐρανῷ κυρῶν ἄνω. ‖ ἄνω κάτω *susque deque.* Eum. 650 τὰ δ' ἄλλα πάντ' ἄνω τε καὶ κάτω στρέφων τίθησιν. Fr. 321 δονοῦσα καὶ τρέπουσα τύρβ' ἄνω κάτω. ‖ *superne.* De motu in locum superiorem Pers. 645 πέμπετε δ' ἄνω τὸν —. Ch. 147 ἡμῖν δὲ πομπὸς ἴσθι τῶν ἐσθλῶν ἄνω. Fr. 165 ἐκ ποδῶν δ' ἄνω ὑπέρχεται σπαραγμὸς εἰς ἄκρον κάρα. 33 εἷλκον δ' ἄνω λυκηδόν. 378 ἄνω ποταμῶν, ubi haud dubie sequebatur verbum motus significationem habens, ut ap. Eurip. Med. 410 ἄνω ποταμῶν χωροῦσι παγαί.

ἄνω *perficio.* Fr. 156, 2 οὔτ' ἂν τι θύων οὔτ' ἐπισπένδων ἄνοις. Ch. 799 ἀνομένων βημάτων ὄρεγμα.

ἄνωγα (perfectum a praesente ἀνώγω, quo tragici non utuntur: de quo dictum in Thes. vol. 1, 2 p. 1059) *iubeo.* Eum. 902 τί οὖν μ' ἄνωγας τῇδ' ἐφυμνῆσαι χθονί; Pr. 947 πατὴρ ἄνωγέ σ' οὕστινας κομπεῖς γάμους αὐδᾶν. 1037 ἄνωγε γάρ σε τὴν αὐθαδίαν μεθέντ' ἐρευνᾶν τὴν σοφὴν εὐβουλίαν. Ch. 735 Αἴγισθον ἡ κρατοῦσα τοὺς ξένους καλεῖν ὅπως τάχιστ' ἄνωγεν. 772 ἀλλ' αὐτὸν ἐλθεῖν — ἄνωχθ' ὅσον τάχιστα.

ἄνωθεν *desuper.* Ag. 871 πολλὴν ἄνωθεν, τὴν κάτω γὰρ οὐ λέγω χθονός, τρίμοιρον χλαῖναν ἐξηύχει λαβών. 875 πολλὰς ἄνωθεν ἀρτάνας ἐμῆς δέρης ἔλυσαν. 1579 φαίην ἂν — θεοὺς ἄνωθεν γῆς ἐποπτεύειν ἄχη. 1595 ἔθρυπτ' ἄνωθεν ἀνδρακὰς καθημένοις. Ch. 427 ἐπασσυτεροτριβῆ τὰ χερὸς ὀρέγματα ἄνωθεν ἀνέκαθεν. [834 τοῖς θ' ὑπὸ χθονὸς φίλοισιν τοῖς τ' ἄνωθεν. Recte Hermannus φίλοις τοῖς τ' ἄνω.] Suppl. 597 de Iove τὸ μεῖον κρεισσόνων κρατύνειν οὔτινος ἄνωθεν ἡμένου σέβει κάτω.

ἀνωτέρω *superius.* Pr. 312 τάχ' ἄν σου καὶ μακρὰν ἀνωτέρω θακῶν κλύοι Ζεύς.

ἀνωφελής *inutilis.* Pr. 33 γόους ἀνωφελεῖς φθέγξει.

ἀνωφέλητος *inutilis.* Ch. 752 καὶ πολλὰ καὶ μοχθήρ' ἀνωφέλητ' ἐμοὶ τλάσῃ.

ἀξία *dignitas.* Ch. 707 οὔτοι κυρήσεις μεῖον

ἀξίας σέθεν. Sic correxi pro ἀξίως. Schol. exp. τῶν σου ἀξίων τιμῶν: unde ἀξίων Pauwius.

[ἀξιόμισος *odio dignus*. Eum. 366 Ζεὺς γὰρ αἱματοσταγὲς ἀξιόμισον ἔθνος τόδε λέσχας ἃς ἀπηξιώσατο, ubi emendavi αἱματόφυρτον πᾶν ἔθνος τόδε, de quo haec dixi in Praef. ed. Lips. quintae (a. 1865) p. CI. "Quod in M legitur αἱματοσταγές locum non habet in metro dactylico, ex quo sequitur Aeschylum alio eiusmodi composito esse usum. sive id αἱματόφυρτον sive αἱμοφόρυκτον sive aliud fuit: unde, addito, quod in huiusmodi locutionibus usitatissimum est, πᾶν, scribendum,

Ζεὺς γὰρ αἱματόφυρτον πᾶν ἔθνος τόδε λέσχας —.

Nam quod in codice adiectum est ἀξιόμισον, ipsum quoque interpreti debetur, qui ad ἀπηξιώσατο adscripserat ἀξιόμισον ἡγήσατο vel simile quid. Adiectiva cum ἄξιος composita usitatissima sunt scriptoribus recentioribus: in tragicorum quae supersunt fabulis nulla huiusmodi composita reperiuntur praeter ἀξιόθρηνος, ἀξιοπενθής et ἀξιόχρεως apud Euripidem Alc. 907. Hipp. 1465. Orest. 596. Neque Aeschylus, si adiectivo isto uti voluisset, ἀξιόμισον erat scripturus, sed ἀξιομισές, ut παντομισῆ κνώδαλα, non παντόμισα dixit Eumen. v. 644."

ἄξιος *dignus*. Pr. 639 τἀποκλαῦσαι κἀποδύρασθαι τύχας — ἀξίαν τριβὴν ἔχει. Ag. 1527 ἄξια πάσχων ἄξια (sic Hermannus pro ἀνάξια) δράσας. Ch. 445 ἐγὼ δ' ἀπεστάτουν ἄτιμος, οὐδὲν ἀξία. 960 ἄξιον (ἄξια Hermannus: sed quum in antistropha iambus sit, fortasse praestat πρέπον, cuius gl. esse potest ἄξιον) δ' οὐρανοῦχον ἀρχὰν σέβειν. Eum. 435 σέβουσαί γ' ἀξίαν (sic Porsonus pro ἀξίαν τ': ἀξίαν σ' Wakefieldus) ἐπαξίων, ubi ἀπ' ἀξίων Stanleius, quod legit scholiasta, qui exp. ἀξίων οὖσαν γονέων. Ag. 531 τίεσθαι δ' ἀξιώτατος βροτῶν τῶν νῦν.

Ἄξιος fluvius. Pers. 493 ἐπ' Ἀξίου πόρον, ubi Ἀξιοῦ apogr. nonnulla, alia Ἀξειοῦ, de qua scriptura v. quae in Thes. dicta sunt vol. 1, 2 p. 1095.

ἀξιόω et forma media ἀξιόομαι *dignum habeo, dignor*. Pr. 215 οὐκ ἠξίωσαν οὐδὲ προσβλέψαι τὸ πᾶν. Ag. 370 οὐκ ἔφα τις θεοὺς βροτῶν ἀξιοῦσθαι μέλειν. 903 τοιοῖσδέ τοί νιν ἀξιῶ προσφθέγμασιν. 1661 ὧδ' ἔχει λόγος γυναικῶν; εἴ τις ἀξιοῖ μαθεῖν. Suppl. 490 πολλῶν τάδ' ἡμῖν ἔστιν ἠξιωμένα. Pr. 240 τούτου τυχεῖν οὐκ ἠξιώθην αὐτός. ‖ *audeo*. Pers. 335 ὥστ' ἀξιῶσαι Περσικῷ στρατεύματι μάχην συνάψαι. Eum. 425 φονεὺς γὰρ εἶναι μητρὸς ἠξιώσατο.

[ἀξίως vitiose Ch. 707. V. ἀξία.]

ἀξονήλατος *ab axi agitatus* s. *motus*. Suppl. 181 σύριγγες οὐ σιγῶσιν ἀξονήλατοι.

ἀξυνήμων *non intelligens*. Ag. 1060 εἰ δ' ἀξυνήμων οὖσα μὴ δέχει λόγον.

ἀξύστατος *qui sisti nequit, insanabilis*. Ag. 1467 ἀξύστατον ἄλγος ἔπραξεν.

ἄξων *axis*. Sept. 154 ἔλακον ἀξόνων βριθομένων χνόαι.

ἀοζέω *ministro*. Hesychius ἀοζήσω (ἀοξήσω codex): διακονήσω, ὑπουργήσω. Αἰσχύλος Ἐλευσινίοις (fr. 50).

ἄοζος *minister*. Ag. 231 φράσεν δ' ἀόζοις πατὴρ μετ' εὐχάν.

ἀοιδή *cantus*. Ag. 979 μαντιπολεῖ δ' ἀκέλευστος ἄμισθος ἀοιδά. Eum. 954 τοῖς μὲν ἀοιδάς, τοῖς δ' αὖ δακρύων βίον ἀμβλωπὸν παρέχουσαι.

ἀοιδός *cantor*. Suppl. 695 εὔφαμόν τ' ἐπὶ βωμοῖς μοῦσαν θείατ' ἀοιδοί.

ἄοινος *vino carens*. Eum. 107 χοὰς ἀοίνους. 860 ἀοίνοις ἐμμανεῖς θυμώμασι.

ἀπαγγέλλω *nuntio*. Sept. 1005 δοκοῦντα καὶ δόξαντ' ἀπαγγέλλειν με χρή. Pers. 330 πολλῶν παρόντων δ' ὀλίγ' ἀπαγγέλλω κακά. Ag. 604 ταῦτ' ἀπάγγειλον πόσει. 632 οὐκ οἶδεν οὐδεὶς ὥστ' ἀπαγγεῖλαι τορῶς. Ch. 266 γλώσσης χάριν δὲ πάντ' ἀπαγγείλῃ τάδε πρὸς τοὺς κρατοῦντας. Suppl. 931 κήρυκ' ἀπαγγέλλειν τορῶς ἕκαστα.

ἀπάγχομαι *suspendeo me*. Suppl. 465 ἐκ τῶνδ' ὅπως τάχιστ' ἀπάγξασθαι θεῶν.

ἀπάγω *abduco*. Ag. 1276 καὶ νῦν ὁ μάντις ἐκπράξας ἐμὲ ἀπήγαγ' ἐς τοιάσδε θανασίμους τύχας. Eum. 935 τὰ γὰρ ἐκ προτέρων ἀπλακήματά νιν πρὸς τάσδ' ἀπάγει. Suppl. 127 ποῖ τόδε κῦμ' ἀπάξει; Futuri forma media Eum. 267 καὶ ζῶντά σ' ἰσχνάνασ' ἀπάξομαι κάτω.

ἀπαθής *nihil passus*. Pers. 861 νόστοι δ' ἐκ πολέμων ἀπόνους, ἀπαθεῖς — ἆγον οἴκους.

ἀπαιόλη *defraudatio*. Fr. 185 τέθνηκεν αἰσχρῶς χρημάτων ἀπαιόλῃ. Aristophanem Byzant. ἀπαιολή ὀξυτόνως scripsisse annotavit schol. Arist. Nub. 1149, de quo v. Lobeck. Rhem. p. 256.

[ἀπαιόλημα *defraudatio*. Ch. 1002 φηλήτης ἀνήρ, ξένων ἀπαιόλημα κἀργυροστερῆ βίον νομίζων.]

ἀπαίρω *abeo*. Phrynichus Bekkeri p. 6, 16 ἀπαίρειν: τὸ μὲν πλεῖστον οἱ Ἀττικοὶ ἐπὶ πλοῦ τιθέασι, πλὴν καὶ ἐπὶ τῆς ὁδοιπορίας, ὡς Αἰσχύλος (fr. 414).

ἄπαις *liberis carens*. Dicitur tam de iis qui nullos unquam liberos habuerunt quam qui amiserunt. Pers. 580 τοκέες τ' ἄπαιδες. Ag. 754 ἄπαιδα θνήσκειν. [Ch. 1006 ὀλοίμην πρόσθεν ἐκ θεῶν ἄπαις.] Eum. 1034 Νυκτὸς παῖδες ἄπαιδες. Conf. v. 69 Νυκτὸς παῖδες, αἷς οὐ μίγνυται θεῶν τις οὐδ' ἄνθρωπος.

ἀπαιτέω *reposco*. Ch. 398 δίκαν δ' ἐξ ἀδίκων ἀπαιτῶ.

ἀπαλέξω *averruncor*. Suppl. 1053 ὁ μέγας Ζεὺς ἀπαλέξαι γάμον Αἰγυπτογενῆ μοι. Sic Quintus Sm. 6, 307 ἀπὸ κῆρας ἀλέξαι, tanquam a praesente ἀπαλέκω.

ἀπαλλαγή *liberatio*. Pr. 316 ζήτει δὲ τῶνδε πημάτων ἀπαλλαγάς. 754 αὕτη γὰρ ἦν ἂν πημάτων ἀπαλλαγή. Ag. 1 θεοὺς μὲν αἰτῶ τῶνδ' ἀπαλλαγὴν πόνων. 20 νῦν δ' εὐτυχὴς γένοιτ' ἀπαλλαγὴ πόνων. Suppl. 338 καὶ δυστυχούντων γ' εὐμαρὴς ἀπαλλαγή.

ἀπαλλάσσω *libero*. Pr. 773 ἢ 'μὸς παῖς σ' ἀπαλλάξει πόνων; Eum. 83 μηχανὰς εὑρήσομεν, ὥστ' ἐς τὸ πᾶν σε τῶνδ' ἀπαλλάξαι πόνων. Pr. 750 ὅπως πέδοι σκήψασα τῶν πάντων πόνων ἀπηλλάγην. 471 οὐκ ἔχω σόφισμ' ὅτῳ τῆς νῦν παρούσης πημονῆς ἀπαλλαγῶ. Ag. 336 τῶν ὑπαιθρίων πάγων δρόσων τ' ἀπαλλαγέντες. ‖ *defungor*. Ag. 1289 οἳ δ' εἶχον πόλιν, οὕτως ἀπαλλάσσουσιν ἐν θεῶν κρίσει. ‖ ἀπαλλάσσομαι *discedo*. Eum. 180 ἀπαλλάσσεσθε μαντικῶν μυχῶν.

ἁπαλός *tener*. Suppl. 67 τὰν ἁπαλὰν νειλοθερῆ παρειάν. [ἁπαλαῖς (ἀπαλαῖς) Pers. 537 vitiose pro ἀμαλαῖς. V. ἀμαλός.]

ἀπαμβλύνω *hebeto, animum alicuius frango, a consilio eum revoco*. Sept. 715 τεθηγμένον τοί μ' οὐκ ἀπαμβλυνεῖς λόγῳ. Pr. 866 ἀλλ' ἀπαμβλυνθήσεται.

ἀπαναίνομαι *recuso*. Eum. 972 πρὸς τάσδ' ἀγρίως ἀπανηναμένας.

ἀπανθίζω *decerpo*. Fr. 98 restituendum putabat Coningtonus Ἄρης φιλεῖ ἀεὶ τὰ λῷστα πάντ' ἀπανθίζειν στρατοῦ pro πάντα τἀνθρώπων, quod legitur apud Stobaeum 51, 26. Alii alia coniecerunt, ut dixi in annot. Mire dictum Ag. 1662 ἀλλὰ τούσδε μοι ματαίαν γλῶσσαν ὧδ' ἀπανθίσαι, κἀκβαλεῖν ἔπη τοιοῦτα, ubi aptius foret ἀκοντίσαι, quod coniecit Wakefieldus. Ib. 1459 pro ἐπηνθίσω Casaubono ἀπηνθίσω scribendum videbatur.

ἀπάνθρωπος *ab hominibus desertus*. Pr. 20 τῷδ' ἀπανθρώπῳ πάγῳ.

ἀπαντλέω *hauriendo minuo*, *demo*. Pr. 84 τί σοι οἷοί τε θνητοὶ τῶνδ' ἀπαντλῆσαι πόνων;

ἅπαξ *semel*. Pr. 209 οὐχ ἅπαξ μόνον. Ag. 873 ἅπαξ ἑκάστῳ κατθανὼν μορφώματι. 1019 τὸ δ' ἐπὶ γᾶν ἅπαξ πεσὸν θανάσιμον - - αἷμα. 1322 ἅπαξ ἔτ' εἰπεῖν — θέλω. Eum. 648 ἅπαξ θανόντος οὔτις ἔστ' ἀνάστασις.

ἀπαξιόομαι *non dignor*. Eum. 368 Ζεὺς — ἔθνος τόδε λέσχας ἃς ἀπηξιώσατο.

ἄπαππος *carens proavo*, *a quo descendat*. Improprie Ag. 311 φάος τόδ' οὐκ ἄπαππον Ἰδαίου πυρός.

ἀπαράμυθος *inexorabilis*. Pr. 185 κέαρ ἀπαράμυθον ἔχει Κρόνου παῖς, syllaba prima producta in metro dactylico.

ἀπαρκέω *sufficio*. Pers. 474 κοὐκ ἀπήρκεσαν οὓς πρόσθε Μαραθὼν βαρβάρων ἀπώλεσεν. ‖ *contentus sum*. Ag. 379 ὥστ' ἀπαρκεῖν (ὥστε κἀπαρκεῖν Triclinius) εὖ πραπίδων λαχόντα.

ἄπαρνος *negans*, *recusans*. Suppl. 1039 Πόθος ᾧ τ' οὐδὲν ἄπαρνον τελέθει θέλκτορι Πειθοῖ.

ἀπαρτί *accurate*, *perfecte*. Per ἀπηρτισμένως, ἀκριβῶς exp. Hesychius (fr. 3).

[ἀπαρτίζω. Sept. 374 σπουδὴ δὲ καὶ τοῦδ' οὐκ ἀπαρτίζει πόδα, ubi correxi τοῦ συγκαταρτίζει πόδα, de quo dixi in Philologo vol. 16 p. 226.]

[ἄπαρχος. V. ἔπαρχος.]

ἅπας *omnis*, *totus*. Pr. 35 ἅπας δὲ τραχὺς, ὅστις ἂν νέον κρατῇ. Sept. 342 καπνῷ χραίνεται πόλισμ' ἅπαν. [Ag. 902 τερπνὸν δὲ τἀναγκαῖον ἐκφυγεῖν ἅπαν.] Pers. 249 ὦ γῆς ἁπάσης Ἀσιάδος πολίσματα. Eum. 738 ἅπαντι θυμῷ. Sept. 18 ἅπαντα πανδοκοῦσα παιδείας ὄτλον. Eum. 484 εἰς ἅπαντ' ἐγὼ θήσω χρόνον. [528 ἅπαντι vitiose pro παντί.] 763 εἰς ἅπαντα πλειστήρη χρόνον. 840 873 πνέω τοι μένος ἅπαντά τε κότον. Suppl. 629 τέρμον' ἄμεμπτον πρὸς ἅπαντα. Pers. 785 ἅπαντες ἡμεῖς, οἳ κράτη τάδ' ἔσχομεν. Pr. 49 ἅπαντ' ἐπράχθη πλὴν θεοῖσι κοιρανεῖν. Pers. 464 ἕως ἁπάντων ἐξαπέφθειραν βίον. Fr. 198 δῆμον ἐνδικώτατον Σκυθῶν ἁπάντων. Ag. 523 ἥκει γὰρ ἡμῖν φῶς ἐν εὐφρόνῃ φέρων καὶ τοῖσδ' ἅπασι κοινόν. Ch. 902 ἅπαντας ἐχθροὺς τῶν θεῶν ἡγοῦ πλέον. Sept. 1050 ἀλλ' εἰς ἅπαντας ἀνθ' ἑνὸς τόδ' ἔργον ἦν. Pr. 265 ἐγὼ δὲ ταῦθ' ἅπαντ' ἠπιστάμην. Ag. 554 τίς δὲ πλὴν θεῶν ἅπαντ' ἀπήμων τὸν δι' αἰῶνος χρόνον; Pr. 483 τὰς ἁπάσας ἐξαμύνονται νόσους. 751 τὰς ἁπάσας ἡμέρας πάσχειν κακῶς. 461 μνήμης ἁπάντων.

ἀπάτη *fraus*. Pers. 93 δολόμητιν δ' ἀπάταν θεοῦ τίς ἀνὴρ θνατὸς ἀλύξει; Suppl. 103 ἄταν δ' ἀπάτᾳ μεταγνούς. Fr. 287 ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεός.

ἀπατιμάζω *honore negato laedo*. Eum. 95 ἐγὼ δ' ὑφ' ὑμῶν ὧδ' ἀπητιμασμένη. ἀπητίμησε (ab ἀπατιμάω) dixit Homerus Il. 13, 113.

ἀπαυρίσκω *aufero*, *eripio*. Imperfectum (tanquam a praesente ἀπαυράω: v. Thes. vol. 1, 2 p. 1229). Pers. 949 Ἰάνων γὰρ ἀπηύρα, Ἰάνων ναύφαρκτος Ἄρης. [ἀπηύρω in apogr. quibusdam Pr. 28 male pro ἐπηύρω et hoc pro ἐπηύρου: v. ἐπαυρίσκω.]

ἄπαυστος *nunquam desinens*. Suppl. 574 Ζεὺς δι' αἰῶνος κρέων ἀπαύστου.

ἀπέδιλος *discalceatus*. Pr. 135 σύθην δ' ἀπέδιλος ὄχῳ πτερωτῷ.

ἀπειθέω *non obtempero*. Ag. 1049 πείθοι' ἂν εἰ πείθοι', ἀπειθοίης δ' ἴσως.

ἀπειλέω *minor*. Sept. 426 πύργοις δ' ἀπειλεῖ δείν', ἃ μὴ κραίνοι τύχη. 440 Καπανεὺς ἀπειλεῖ πᾶν παρεσκευασμένος δρᾶν. [549 πύργοις ἀπειλεῖ τοῖσδ' ἃ μὴ κραίνοι θεός, quem versum ex v. 426 finxit interpolator.] Ag. 1422 τοιαῦτ' ἀπειλεῖν ὡς παρεσκευασμένης —.

ἀπειλή *mina*. Pr. 174 στερεάς τ' οὔποτ' ἀπειλὰς πτήξας.

ἄπειμι (cum infinitivo ἀπεῖναι et participio ἀπών) *absum*. Ag. 549 καὶ πῶς ἀπόντων κοιράνων ἔτρεις τινάς; 904 φθόνος δ' ἀπέστω. Eum. 750 γνώμης δ' ἀπούσης πῆμα γίγνεται μέγα. Suppl. 124 ὁπόθι θάνατος ἀπῇ.

ἄπειμι (cum infinitivo ἀπιέναι et participio ἀπιών) *abeo*, sed indicativo praesentis significationem futuri habente *abibo*. Pers. 839 ἐγὼ δ' ἄπειμι γῆς ὑπὸ ζόφον κάτω. Eum. 764 ἐγὼ δ' ἄπειμι πρὸς δόμους.

ἀπειπεῖν *vetare*. Ag. 1333 δακτυλοδείκτων δ' οὔτις ἀπειπὼν εἴργει μελάθρων. ‖ *deficere*. Sept. 840 ἐξέπραξεν οὐδ' ἀπεῖπε πατρόθεν εὐκταία φάτις.

ἀπείργω *arceo*. Sept. 471 πόλεως ἀπείργειν τῆσδε δούλιον ζυγόν. Ch. 293 βωμῶν τ' ἀπείργειν. 569 τί δὴ πύλαισι τὸν ἱκέτην ἀπείργετε; Sic ex apogr. Guelf. pro ἀπείργεται.

ἀπειρόδακρυς *lacrimarum expers*. Suppl. 68 ἀπειρόδακρύν τε κάρζαν.

ἄπειρος *inexpertus*, *ignarus*. Pr. 373 σὺ δ' οὐκ ἄπειρος. Ch. 118 δίδασκ' ἄπειρον ἐξηγουμένη. 371 τῶνδε πόνων ἄπειρον. Fr. 281 νόσων τ' ἀπείρους. 339 ἄπειρον τῆσδε τῆς προσῳδίας. ‖ *finem non habens*, *exitu carens*. Ag. 1382 ἄπειρον ἀμφίβληστρον ὥσπερ ἰχθύων περιστιχίζω. Similiter Pr. 1078 ἀπέραντον δίκτυον.

ἀπείρων *finem non habens*, *circularis*. Fr. 407 κύκλῳ περίστητ' ἐν λόχῳ τ' ἀπείρονι εὔξασθε.

ἀπέλλητος. Bekk. Anecd. p. 421, 5 ἀπέλλητοι: ἀνταγωνισταί. οὕτως Αἰσχύλος (fr 426). Glossa vitii suspecta. Pro ἀνταγωνισταί exspectes potius adiectivum ἀνανταγώνιστοι.

ἀπενθής *luctu liber*. Pr. 956 καὶ δοκεῖτε δὴ ναίειν ἀπενθῆ πέργαμα.

ἀπένθητος *non lugens*. [Ag. 895 ἀπενθήτῳ φρενί.] Eum. 912 τὸ τῶν δικαίων τῶνδ' ἀπένθητον γένος.

ἀπεννέπω *veto*. Sept. 1053 ἀπεννέπω δ' ἐγώ. Eum. 956 ἀνδροκμῆτας δ' ἀώρους ἀπεννέπω τύχας.

ἀπέραντος *infinitus*. Pr. 153 εἰς ἀπέραντον Τάρταρον. 1078 εἰς ἀπέραντον δίκτυον ἄτης.

ἀπέρατος *impervius*, *impenetrabilis*. Suppl. 1049 Διός οὐ παρβατός ἐστιν μεγάλα φρὴν ἀπέρατος.

[ἀπεριλάλητος. Aeschylo per errorem tribuit Pollux 2, 125, quum sit Aristophanis Ran. 823.]

ἀπερωπός *inhumanus*, *ferus*. Ch. 600 θηλυκρατὴς ἀπερωπὸς ἔρως παρανικᾷ. ἀπερωπός Kusterus ad Hesych. s. h. v., ἀπέρωτος M, littera

τ ex π facta, quod praetervidernnt qui codicem ante me contulerunt. ἀπερωπὸς legit scholiasta. qui exp. ἀντὶ τοῦ στυγνὸς, quibus similibusque adiectivis etiam Etym. M. p. 120, 41 interpretatur et haud dubie ex hoc Aeschyli versu Phrynichus in Bekk. Anecd. p. 8, 8. ἀπέρωπος (hoc accentu): σημαίνει ἀναιδὴς, σκληρὸς, τραχὺς, οἷον ἀπερίοπτος καὶ ἀπερίβλεπτος. ὃν οὐκ ἄν τις περιωπήσαιτο διὰ τὴν ἀηδίαν. καὶ ἀπέρωπον οἷον τραχὺ καὶ ἀνατεταμένον. Vid. L. Dindorf. in Thes. vol. 1, 2 p. 1293.

ἀπευθύνω *dirigo*, Ag 1667 ἐὰν δαίμων Ὀρέστην δεῦρ᾽ ἀπευθύνῃ μολεῖν.

ἀπευκτός *abominandus*. Ag. 638 ἀπευκτὰ πήματα. Suppl. 790 πρὶν ἄνδρ᾽ ἀπευκτὸν τῷδε χριμφθῆν χροΐ.

ἀπεύχομαι *deprecor, repudio*. Eum. 608 ἀπεύχει μητρὸς αἷμα φίλτατον;

ἀπεύχετος *abominandus*. Ch. 155 ἄγος ἀπεύχετον. 624 δυσφιλὲς γαμήλευμ᾽ ἀπεύχετον δόμοις.

ἀπέχω *arceo, removeo*. Pr. 687 ἔα ἔα, ἄπεχε, φεῦ, ubi ἔπεχε coniecit Abreschius. Ag. 1125 ἄπεχε τᾶς βοὸς τὸν ταῦρον. Eum. 350 ἀθανάτων δ᾽ ἀπέχειν χέρας. Forma media Suppl. 756 οὐ μὴ τριαίνας τάσδε καὶ θεῶν σέβη δείσαντες ἡμῶν χεῖρ᾽ ἀπόσχωνται.

ἀπέχθεια *odium*. Pr. 121 τὸν πᾶσι θεοῖς δι᾽ ἀπεχθείας ἐλθόντα.

ἀπήμαντος *illaesus, incolumis*. Ag. 379 ἔστω δ᾽ ἀπήμαντον. Suppl. 576 ἀπημάντῳ σθένει.

ἀπήμων *incolumis*. Ag. 554 τίς δὲ πλὴν θεῶν ἅπαντ᾽ ἀπήμων τὸν δι᾽ αἰῶνος χρόνον; Eum. 893 πάσης ἀπήμον᾽ οἰζύος. ‖ *innoxius*. Suppl. 186 εἴτ᾽ ἀπήμων εἴτε καὶ τεθυμμένος ὠμῇ ξὺν ὀργῇ.

ἀπήνη *rheda, currus*. Ag. 906 1039 ἔκβαιν᾽ ἀπήνης τῆσδε.

Ἀπία *Apia*, antiquum Peloponnesi nomen. Syllaba prima producta Suppl. 260 αὐτῆς δὲ χώρας Ἀπίας πέδον τόδε. 777 ποῖ φύγωμεν Ἀπίας χθονός; Ag. 256 Ἀπίας γαίας μονόφρουρον ἕρκος. Suppl. 116 127 ἱλέομαι μὲν Ἀπίαν βοῦνιν, nomine ab Ἆπις, qui Apollinis filius fuit, ducto.

Ἆπις *Apis*, Apollinis filius. Suppl. 262 Ἆπις γὰρ ἐλθὼν ἐκ πέρας Ναυπακτίας ἰατρόμαντις παῖς Ἀπόλλωνος. et similiter de medico 269.

ἀπιστέω *non obtempero*: de qua signif. v. Thes. vol. 1, 2 p. 1326. Pr. 640 οὐκ οἶδ᾽ ὅπως ὑμῖν ἀπιστῆσαί με χρή.

ἀπιστία *incredibilitas*. Ag. 268 πέφευγε τοὔπος ἐξ ἀπιστίας.

ἄπιστος *incredibilis*. Pr. 832 τέρας ἄπιστον. Suppl. 277 ἄπιστα μυθεῖσθ᾽, ὦ ξένοι, κλύειν ἐμοί. · *inobediens*. Sept. 842 βουλαὶ δ᾽ ἄπιστοι Λαΐου διήρκεσαν. 844 ἰὼ πολύστονοι τόδ᾽ εἰργάσασθ᾽ ἄπιστον. 1030 ἔχουσ᾽ ἄπιστον τήνδ᾽ ἀναρχίαν πόλει. 875 φίλων ἄπιστοι, quod Thomas Mag. explicat μὴ τοῖς φίλοις πεισθέντες.

ἀπλάκημα. V. ἀμπλάκημα.

ἄπλᾱτος *cui appropinquare non licet, inaccessus*. Pr. 371 τοιόνδ᾽ ὁ Τυφὼς ἐξαναζέσει χόλον θερμοῖς ἀπλάτου βέλεσι πυρπνόου ζάλης, ubi ἀπλήστου M, quod correxit Schuetzius. nisi quod ἀπλήτου scripsit. Tragici Dorica tantum forma utuntur ἄπλατος, de qua v. Thes. vol. 1, 2 p. 1335.

ἄπληστος *insatiabilis*. Ag. 102 ἐλπὶς ἀμύνει φροντίδ᾽ ἄπληστον. Eum. 976 τὰν δ᾽ ἄπληστον κακῶν μήποτ᾽ ἐν πόλει στάσιν τᾷδ᾽ ἐπεύχομαι βρέμειν. Suppl. 742 ἐξώλές ἐστι μάργον Αἰγύπτου γένος μάχης τ᾽ ἄπληστον.

ἄπλοια *navigandi impedimentum, navigatio inopportuna*. Ag. 189 ἀπλοίᾳ κεναγγεῖ βαρύνοντ᾽ Ἀχαιικὸς λεώς. [Ib. 147 ἀπλοίας ex gl illatum pro αὔρας. V. αὔρα.]

ἁπλοῦς *simplex, unus*. Pr. 46 ὡς ἁπλῷ λόγῳ. 610 ἁπλῷ λόγῳ. 975 ἁπλῷ λόγῳ τοὺς πάντας ἐχθαίρω θεούς. Ch. 553 ἁπλοῦς ὁ μῦθος. Fr. 236 ἁπλῆ οἶμος εἰς Ἅιδου φέρει. 173 ἁπλᾶ γάρ ἐστι τῆς ἀληθείας ἔπη. ‖ ἁπλῶς *simpliciter*. Ch. 121 ἁπλῶς τι φράζουσ᾽, ὅστις ἀνταποκτενεῖ. Suppl. 464 ἀλλ᾽ ἁπλῶς φράσον. Sic Abreschius pro ἀλλὰ πῶς.

ἀπό *ab*, praepositio quae cum solo construitur genitivo. Eius primarius usus est cum genitivo loci ex quo aliquis vel aliquid movetur vel exit: unde ad alias transfertur dictiones, quibus ortus, genus, causa vel origo vel hominum vel rerum earumque sub sensus sive cadentium sive non cadentium, vel tempus indicatur ex quo aliquid vel fit vel factum est vel fiet.

1. Cum genitivo loci. Suppl. 96 ἰάπτει δ᾽ ἐλπίδων ἀφ᾽ ὑψιπύργων πανώλεις βροτούς. 214 φυγάδ᾽ ἀπ᾽ οὐρανοῦ θεόν. Fr. 41 ὄμβρος δ᾽ ἀπ᾽ εὐνάοντος οὐρανοῦ πεσών. Suppl. 102 ἑδράνων ἀφ᾽ ἁγνῶν. 713 ἀπὸ σκοπῆς ὁρῶ τὸ πλοῖον. Ag. 493 κήρυκ᾽ ἀπ᾽ ἀκτῆς τόνδ᾽ ὁρῶ. Pr. 398 δακρυσίστακτον ἀπ᾽ ὄσσων ῥαδινῶν εἰβομένα ῥέος. 748 ἔρριψ᾽ ἐμαυτὴν τῆσδ᾽ ἀπὸ στύφλου πέτρας. 721 ἔνθα ποταμὸς ἐκφυσᾷ μένος κροτάφων ἀπ᾽ αὐτῶν. 811 ἔνθα Βυβλίνων ὀρῶν ἄπο ἵησι σεπτὸν Νεῖλος εὔποτον ῥέος. 838 πρὸς μέγαν κόλπον Ῥέας, ἀφ᾽ οὗ παλιμπλάγκτοισι χειμάζει δρόμοις. Pers. 270 γᾶς ἀπ᾽ Ἀσίδος ἦλθ᾽ ἐπ᾽ αἶαν. 460 τοξικῆς δ᾽ ἀπὸ θώμιγγος ἰοὶ προσπίτνοντες ὤλλυσαν. 799 περᾷ τὸν Ἕλλης πορθμὸν Εὐρώπης ἄπο. 865 ἀφ᾽ ἑστίας συθείς. Suppl. 75 τᾶσδε φυγᾶς Ἀερίας ἀπὸ γᾶς. 3 στόλον ἡμέτερον νάϊον ἀρθέντ᾽ ἀπὸ προστομίων — Νείλου. 430 ἀπὸ βρετέων βίᾳ δίκας ἀγομέναν. 61 ἀπὸ χώρων ποταμῶν τ᾽ εἰργομένα. Ch. 966 ὅταν ἀφ᾽ ἑστίας μύσος πᾶν ἐλάσῃ. Ag. 560 ἐξ οὐρανοῦ γὰρ κἀπὸ γῆς λειμώνιαι δρόσοι κατεψάκαζον. Eum. 264 ἀπὸ ζῶντος ῥοφεῖν ἐρυθρὸν ἐκ μελέων πέλανον. 398 ἀπὸ Σκαμάνδρου γῆν καταφθατουμένη. Ag. 538 κῆρυξ Ἀχαιῶν χαῖρε τῶν ἀπὸ στρατοῦ. 429 ἀφ᾽ Ἑλλανίδος γᾶς συνορμένοις. 603 ἀπὸ στρατείας ἀνδρὶ σώσαντος θεοῦ πύλας ἀνοῖξαι, i. e. viro ex bello redeunti. Eum. 631 ἀπὸ στρατείας γάρ νιν ἠμπποληκότα —. Ch. 198 εἴπερ γ᾽ ἀπ᾽ ἐχθροῦ κρατὸς ἦν τετμημένος. 262 ἀπὸ σμικροῦ δ᾽ ἂν ἄρειας μέγαν δόμον. Eum. 845 ἀπὸ γάρ με τιμᾶν δαναιᾶν — παρ᾽ οὐδὲν ἦραν δόλοι. Fr. 34 εὐοδίαν μὲν πρῶτον ἀπὸ στόματος χέομεν. ‖ Cum genitivo partitivo Pers. 1023 βαιά γ᾽ ὡς ἀπὸ πολλῶν. ‖ *procul*. Suppl. 684 νούσων δ᾽ ἑσμὸς ἀπ᾽ ἀστῶν ἵζοι κρατὸς ἀτερπής. [Ag. 998 ἀπ᾽ Triclinius pro ἐξ.]

2. Cum genitivo ortum vel genus significante vel causam et originem Sept. 412 σπαρτῶν δ᾽ ἀπ᾽ ἀνδρῶν — ῥίζωμ᾽ ἀνεῖται. 1032 δεινὸν τὸ κοινὸν σπλάγχνον, οὗ πεφύκαμεν, μητρὸς ταλαίνης κἀπὸ δυστήνου πατρός. Fr. 305, 6 νηδύος μιᾶς ἄπο. Pers. 611 βοός τ᾽ ἀφ᾽ ἁγνῆς λευκὸν εὔποτον γάλα. 614 ἀκήρατόν τε μητρὸς ἀγρίας ἄπο ποτόν. Suppl. 537 γᾶς ἀπὸ τᾶσδ᾽ ἔνοικοι. Ag. 46 τῆσδ᾽ ἀπὸ χώρας. Suppl. 237 οὐδ᾽ ἀφ᾽ Ἑλλάδος τόπων Ch. 472 δώμασιν ἔμμοτον τῶνδ᾽ ἄκος οὐδ᾽ ἀπ᾽ ἄλλων ἔκτοθεν, ἀλλ᾽ ἀπ᾽ αὐτῶν. Eum. 183 μέλαν᾽ ἀπ᾽ ἀνθρώπων ἀφρόν. Ag. 1132 ἀπὸ δὲ θεσφάτων τίς ἀγαθὰ φάτις βροτοῖς στέλλεται; Eum. 314 οὔτις ἐφέρπει μῆνις ἀφ᾽ ἡμῶν. Sept. 703 χάρις δ᾽ ἀφ᾽ ἡμῶν ὀλομένων θαυμάζεται. Suppl. 363 ἱερο-

δόκα θεῶν λήμματ' ἀπ' ἀνδρὸς ἀγνοῦ. Eum. 265 ἀπὸ δὲ σοῦ βοσκὰν φεροίμαν. Suppl. 271 ἔχουσ' ἂν ἤδη τἀπ' ἐμοῦ τεκμήρια. Ch. 736 ὡς σαφέστερον ἀνὴρ ἀπ' ἀνδρὸς τὴν νεάγγελτον φάτιν ἐλθὼν πύθηται τήνδε. Pr. 254 ἀφ' οὗ γε πολλὰς ἐκμαθήσονται τέχνας. Ag. 970 ὅταν δὲ τεύχῃ Ζεὺς ἀπ' ὄμφακος πικρᾶς οἶνον. 1010 σφενδόνας ἀπ' εὐμέτρου. 240 ἔβαλλ' ἕκαστον θυτήρων ἀπ' ὄμματος βέλει φιλοίκτῳ. Suppl. 207 ἴδοιτο δῆτα πρευμενοῦς ἀπ' ὄμματος. Ag. 987 πεύθομαι δ' ἀπ' ὀμμάτων νόστον. 282 φρυκτὸς δὲ φρυκτὸν δεῦρ' ἀπ' ἀγγάρου πυρὸς ἔπεμπεν. 813 δίκας γὰρ οὐκ ἀπὸ γλώσσης θεοὶ κλύοντες. 805 ἀπ' ἄκρας φρενός. 1630 ὁ μὲν γὰρ ἦγε πάντ' ἀπὸ φθογγῆς χαρᾷ. Eum. 287 ἀφ' ἁγνοῦ στόματος εὐφήμως καλῶ. 674 ἀπὸ γνώμης φέρειν ψῆφον δικαίαν. Fr. 324 ἀφ' οὗ δὴ Ῥήγιον κικλήσκεται. Ag. 1302 ἀλλ' ἴσθι τλήμων οὖσ' ἀπ' εὐτόλμου φρενός. 1643 τί δὴ τὸν ἄνδρα τόνδ' ἀπὸ ψυχῆς κακῆς οὐκ αὐτὸς ἠνάριζες; 156 μόρσιμ' ἀπ' ὀρνίθων ὁδίων οἴκοις βασιλείοις.

Cum nominibus tempus significantibus ex quo quid fit. Suppl. 343 ἀπ' ἀρχῆς. Pers. 177 ἀφ' οὗπερ παῖς ἐμὸς στείλας στρατὸν—οἴχεται. ‖ Post adiectiva numeralia Pr. 853 πέμπτη δ' ἀπ' αὐτοῦ γέννα. Pers. 768 τρίτος δ' ἀπ' αὐτοῦ Κῦρος.

[**ἀπό** ex glossemate illatum Sept. 784 κρεισσοτέκνων δ' ἀπ' ὀμμάτων ἐπλάγχθη, ubi Blomfieldus recte delevit δ' ἀπ'. Ib. 273 in versu interpolatoris Δίρκης τε πηγαῖς, οὐδ' ἀπ' Ἰσμηνοῦ λέγω incertum est utrum hoc dicere voluerit *neque Ismenum dicere omitto*, an librarii error sit pro ὕδατά τ' Ἰσμηνοῦ λέγω. De Ch. 79 v. s. v. ἀρχή.] ἀπό in tmesi. V. ἀποβάλλω.

ἀπό anastrophen (ἄπο) patitur quum substantivo inde pendenti vel soli vel cum adiectivo coniuncto postponitur, de quo dixerunt Ioannes Alex. (in excerptis ex Herodiano) τον. παραγγ. p. 27 aliique grammatici, quorum opiniones de anastrophe praepositionum accuratissime tractavit Lehrsius in Quaest. Epicarum capite secundo. Sic ap. Aesch. Pr. 811 Βυβλίνων ὀρῶν ἄπο. Pers. 799 Εὐρώπης ἄπο. 614 μητρὸς ἀγρίας ἄπο. Fr. 305, 6 νηδύος μιᾶς ἄπο. Non mutatur vero accentus ubi ἀπό medium positum est inter substantivum et adiectivum vel inter adiectivum et substantivum, velut Pers. 460 τοξικῆς ἀπὸ | θώμιγγος. Sept. 412 σπαρτῶν ἀπ' ἀνδρῶν. Neque in tmesi verborum cum ἀπό compositorum anastrophe locum habet, velut Ag. 165 ἀπὸ φροντίδος ἄχθος — βαλεῖν.

ἀπό per crasin coalescit cum καί et μή (velut κἀπό κἀπολακτισμοί et μἀπολακτίσῃς μἀπολωλότας), de quo dicetur s. v. καί et μή, et cum articulo, velut Pr. 637 τἀποκλαῦσαι κἀποδύρασθαι τύχας. Suppl. 271 τἀπ' ἐμοῦ.

ἀποβάλλω *abiicio*. Ag. 165 in tmesi ἀπὸ φροντίδος ἄχθος χρὴ βαλεῖν ἐτητύμως.

ἀπογυμνάζω *exerceo*. Sept. 441 ἀπογυμνάζων στόμα.

ἀποδείκνυμι *ostendo*. Ag. 727 ἀπέδειξεν ἦθος τὸ πρόσθε τοκήων. Eum. 1004 προτέραν δ' ἐμὲ χρὴ στείχειν θαλάμους ἀποδείξουσαν. ‖ Forma media ἀποδείκνυμαι *efficio*. Pr. 1087 πνεύματα — εἰς ἄλληλα στάσιν ἀντίπνουν ἀποδεικνύμενα, ubi ἀντίπνοον scribendum, ἀποδεικνύμενα vero alius verbi ab consonante incipientis glossema esse videtur.

ἀποδηλόω *ostendo*. Fr. 305, 2 κἀποδηλώσας ἔχει τραχὺν πετραῖον ὄρνιν.

ἀποδικεῖν *abiicere*. Ag. 1410 ἀπέδικες, ἀπέτεμες.

ἀποδύρομαι *defleo*. Pr. 637 τἀποκλαῦσαι κἀποδύρασθαι τύχας.

ἀποζεύγνυμαι *proficiscor*. Ch. 676 ὥσπερ δεῦρ' ἀπεζύγην πόδα.

ἀποθαυμάζω *demiror*. Ag. 318 λόγους δ' ἀκοῦσαι τούσδε κἀποθαυμάσαι — θέλοιμ' ἄν.

ἀποθραύω *detundo, confringo*. Pers. 410 κἀποθραύει πάντα Φοινίσσης νεὼς κόρυμβα.

ἀποικία *colonia*. Pr. 814 οὗ δὴ τὴν μακρὰν ἀποικίαν, Ἰοῖ, πέπρωται σοί τε καὶ τέκνοις κτίσαι.

ἄποικος *incola ex patria emissus*. Sept. 728 ξένος δὲ κλήρους ἐπινωμᾷ χάλυβος Σκυθῶν ἄποικος.

ἀποιμώζω *conqueror*. Ag. 329 οὐκέτ' ἐξ ἐλευθέρου δέρης ἀποιμώζουσι φιλτάτων μόρον. Ch. 1014 νῦν αὐτὸν αἰνῶ, νῦν ἀποιμώζω παρών. Fr. 133 ἀποίμωξόν με τοῦ τεθνηκότος τὸν ζῶντα μᾶλλον.

ἄποινα (neutro plurali) *poena*. Pers. 808 ὕβρεως ἄποινα κἀθέων φρονημάτων. Ag. 1420 μιασμάτων ἄποινα. 1670 ἴσθι μοι δώσων ἄποινα τῆσδε μωρίας χάριν.

[**ἄποινον**. V. ἄπονος.]

ἀποκείρω *demeto, occido*. Pers. 921 ἀνδρῶν, οὓς νῦν δαίμων ἀπέκειρεν.

ἀποκλάζω *edo, pronuntio*. Ag. 156 τοιάδε Κάλχας ξὺν μεγάλοις ἀγαθοῖς ἀπέκλαγξε.

ἀποκλάω *defleo*. Pr. 637 τἀποκλαῦσαι κἀποδύρασθαι τύχας.

ἀποκλῄω *excludo*. Pr. 670 ἐξήλασέν με κἀπέκλῃσε (κἀπέκλεισε M, quod correxi) δωμάτων.

ἀποκοπή *detruncatio*. Suppl. 841 πολυαίμων φόνιος ἀποκοπὰ κρατός.

ἀποκορσόομαι *capillos mihi detondeo*. Hesychius ἀποκορσωσαμέναις: ἀποκειραμέναις· κόρσας γὰρ τὰς τρίχας. Αἰσχύλος Ὑψιπύλῃ (fr. 241).

ἀποκρύπτω *abscondo, occulto*. Pr. 24 ἡ ποικιλείμων νὺξ ἀποκρύψει φάος, ut Archilochus ap. Stob. Flor. 110, 10, 3 dixit Ζεὺς ἀποκρύψας φάος ἡλίου λάμποντος.

ἀποκτείνω *interficio*. Ag. 1250 σὺ μὲν κατεύχει, τοῖς δ' ἀποκτείνειν μέλει.

ἀποκωκύω *defleo*. Ag. 1544 ἀποκωκῦσαι ψυχήν.

ἀπολακτίζω *repudio*. Pr. 651 μἀπολακτίσῃς (sic scripsi pro μὴ ἀπολακτίσῃς) λέχος τὸ Ζηνός. ‖ *excutio*. Eum. 141 ἀπολακτίσασ' ὕπνον.

ἀπολακτισμός *abiectio*. Suppl. 937 πεσήματ' ἀνδρῶν κἀπολακτισμοὶ βίου.

ἀπολείπω *relinquo*. Pers. 962 ὀλοοὺς ἀπέλειπον. Fr. 152 ὑψοῦ τέλος ἀθανάτων ἀπολείψει.

ἀπόλεμος *non debellandus*. Ag. 769 δαίμονά τε τὰν ἄμαχον, ἀπόλεμον, ἀνίερον. Ch. 55 σέβας δ' ἄμαχον, ἀδάματον, ἀπόλεμον τὸ πρίν. Pr. 904 ἀπόλεμος ὅδε γ' ὁ πόλεμος *bellum non gerendum*: ubi metri causa ἀπολέμιστος scripsi.

ἄπολις. Eum. 457 ξὺν ᾧ σὺ Τροίαν ἄπολιν Ἰλίου πόλιν ἔθηκας *urbem, quae non amplius urbs est*.

ἀπόλλυμι *perdo*. Pers. 652 οὐδὲ γὰρ ἄνδρας ποτ' ἀπώλλυ. [Sept. 981 πνεῦμ' ἀπώλεσεν, sed versu proximp ἀπώλεσε δὴ τόδε male pro ὤλεσε, quod restituit Wellauerus.] Pers. 475 οὓς πρόσθε Μαραθὼν βαρβάρων ἀπώλεσεν. 551 Ξέρξης μὲν ἄγαγεν, — Ξέρξης δ' ἀπώλεσεν. 561 νᾶες μὲν ἄγαγον, νᾶες δ' ἀπώλεσαν. 733 οἵαν ἄρ' ἥβην ξυμμάχων ἀπώλεσε. Ag. 1082 ἀπώλεσας γὰρ οὐ

μόλις τὸ δεύτερον. Ch. 615 φῶτ' ἀπώλεσεν φίλον. Suppl. 401 ἐπήλυδας τιμῶν ἀπώλεσας πόλιν. ‖ ἀπόλωλα *perii*. 209 ὦ Ζεῦ, κόπων οἴκτειρε μἀπολωλότας (sic scripsi pro μὴ ἀπολωλότας). [sed 918 τἀπολωλότα corruptum ex τάμ' ὀλωλότα.] ‖ ἀπόλλυμαι *pereo*. Pers. 278 πᾶς δ' ἀπώλλυτο στρατός. 328 εὐκλεῶς ἀπώλετο. Ch. 96 ὥσπερ οὖν ἀπώλετο πατήρ.

Ἀπόλλων *Apollo*. Sept. 159 ὦ φίλ' Ἄπολλον. 745 Ἀπόλλωνος — βίᾳ. 801 ὁ σεμνὸς ἑβδομαγέτης ἄναξ Ἀπόλλων. Ag. 55 ὕπατος δ' ἀΐων ἤ τις Ἀπόλλων ἢ Πὰν ἢ Ζεύς. Ib. 1073 1077 in M ὤπολλον ὤπολλον (et crasis ὤπολλον memoratur in Etym. M p. 514, 30), sed 1080 et 1085 ἄπολλον ἄπολλον | ἀγυιᾶτ', ἀπόλλων ἐμός (i. e. ἀπολλὺς ἐμέ, nomine Ἀπόλλων ab ἀπόλλυμι derivando). quod Ἄπολλον Ἄπολλον ego duobus primis quoque locis restitui. Nam metrum aut hoc postulat aut baccheos, quater repetito Ἀπόλλων, ut fecit Hermannus. Ag. 1202 μάντις μ' Ἀπόλλων τῷδ' ἐπέστησεν τέλει. 1257 Λύκει' Ἄπολλον. 1269 Ἀπόλλων αὐτὸς ἐκδύων ἐμὲ χρηστηρίαν ἐσθῆτα. Ch. 559 ἄναξ Ἀπόλλων. Vocativus Ag. 513. Ch. 1057 et Eum. 85 198 574 ἄναξ Ἄπολλον. 299 οὔτοι σ' Ἀπόλλων οὐδ' Ἀθηναίας σθένος ῥύσαιτ' ἄν. 610 ἐξηγοῦ δέ μοι, Ἄπολλον. 744 ὦ Φοῖβ' Ἄπολλον. Suppl. 214 ἁγνόν τ' Ἀπόλλω φυγάδ' ἀπ' οὐρανοῦ θεόν. 263 ἰατρόμαντις παῖς Ἀπόλλωνος. Fr. 205 ἀγρεὺς δ' Ἀπόλλων ὀρθὸν ἰθύνοι βέλος. 394 ὁ κισσεὺς Ἀπόλλων. Sept. 859 τὰν ἀστιβῆ 'πόλλωνι.

ἀπόμουσος *a musis alienus*, i q. ἄμουσος. Adv. Ag. 801 κάρτ' ἀπομούσως ἦσθα γεγραμμένος οὐδ' εὖ πραπίδων οἴακα νέμων, ubi Elmsleius ἀπόμουσός τ' — οὔτ'.

ἄπονος *molestia liber*. Pers. 861 νόστοι δ' ἐκ πολέμων ἀπόνους, ἀπαθεῖς — ἄγον οἴκους. βίαν — ἄπονον Suppl. 93 Hermannus pro ἄποινον.

ἀπόξενος *hospitio non exceptus*. Eum. 884 τοῦδ' ἀπόξενος πέδου. ‖ *exul*. Ag. 1282 φυγὰς δ' ἀλήτης τῆσδε γῆς ἀπόξενος. Ch. 1042 ἐγὼ δ' ἀλήτης τῆσδε γῆς ἀπόξενος.

ἀποπέμπομαι (forma media) *dimitto*. Pers. 137 τὸν αἰχμάεντα θοῦρον εὐνατῆρ' ἀποπεμψαμένα.

ἀπόπολις *urbe exul*. Ag. 1410 ἀπόπολις δ' ἔσει. Sic Seidlerus pro ἄπολις.

ἀπόπτυστος *abominandus*, *exosus*. Eum. 191 ἀπόπτυστοι θεοῖς.

ἀποπτύω *despuo*. Fr. 376 ἀποπτύσαι δεῖ καὶ καθήρασθαι στόμα. ‖ *abominor*, *respuo*. Eum. 303 οὐδ' ἀντιφωνεῖς, ἀλλ' ἀποπτύεις λόγους; Pr. 1070 κοὐκ ἔστι νόσος τῆσδ' ἥντιν' ἀπέπτυσα μᾶλλον. Ag. 980 οὐδ' ἀποπτύσας δίκαν δυσκρίτων ὀνειράτων θάρσος εὐπιθὲς ἵζει. 1192 ἐν μέρει δ' ἀπέπτυσαν εὐνὰς ἀδελφοῦ. Ch. 197 τόνδ' ἀποπτύσαι πλόκον.

ἀπόρθητος *non eversus*, *incolumis*. Pers. 347 ἔτ' ἆρ' Ἀθηνῶν ἔστ' ἀπόρθητος πόλις;

ἄπορος *factu difficilis*. Pr. 904 ἀπόλεμος (ἀπολέμιστος scripsi) ὅδε γ' ὁ πόλεμος, ἄπορα πόριμος.

ἀπορρέω *defluo*. Aoristi forma passiva Ag. 1294 αἱμάτων εὐθνησίμων ἀπορρυέντων.

ἀπορρήγνυμι *abrumpo*. Pers. 507 εὐτυχεῖ (ηὐτύχει Paleius, εὐτυχὴς apogr. quaedam) δέ τοι, ὅστις τάχιστα πνεῦμ' ἀπέρρηξεν βίου.

[ἀπορρί]πτω *abiicio*. Ch. 914 οὔτοι σ' ἀπέρριψ' [ἐς δόμους ...]ρυξένους. Eum. 215 Κύπρις δ' ἀτίμως τῷδ' ἀπέρριπται λόγῳ. Suppl. 484 μηδ' ἀπορριφθῇ λόγος ἐμοῦ.

ἀπορφανίζω *orbo*. Passivum Ch. 249 τοὺς δ' ἀπωρφανισμένους νῆστις πιέζει λιμός.

ἀπόσκημμα *fulcrum*. Hesychius ἀπόσκημμα: ἀπέρεισμα. Αἰσχύλος Ἀργείοις (fr. 16).

ἀποσπάω *abstraho*, *avello*, *abduco*. Suppl. 909 ἕλξειν ἔοιχ' ὑμᾶς ἀποσπάσας κόμης.

ἀποστάζω *destillo*. Suppl. 579 δακρύων δ' ἀποστάζει πένθιμον αἰδῶ. Fr. 137 in tmesi ἀπὸ — στάζει.

ἀποστατέω *procul sto*. Ag. 1104 ἀλκὰ δ' ἑκὰς ἀποστατεῖ. Ch. 444 ἐγὼ δ' ἀπεστάτουν ἄτιμος. Eum. 65 ἐγγὺς παρεστὼς καὶ πρόσω δ' ἀποστατῶν. 414 ἀποστατεῖ θέμις. Ch. 826 ἄτα δ' ἀποστατεῖ φίλων. Fr. 156, 4 μόνου δὲ Πειθὼ δαιμόνων ἀποστατεῖ. 287 ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεός.

ἀποστέγω *arceo*. Sept. 234 δυσμενέων δ' ὄχλον πύργος ἀποστέγει.

ἀποστείχω *discedo*. Suppl. 769 ἐς νύκτ' ἀποστείχοντος ἡλίου.

ἀποστέργω *odio prosequor*, *odi*, *abominor*. Ag. 499 τὸν ἀντίον δὲ τοῖσδ' ἀποστέργω λόγον.

ἀποστερέω *privo*. Pr. 681 ἀπροσδόκητος δ' αὐτὸν ἀφνίδιος μόρος τοῦ ζῆν ἀπεστέρησεν. 777 μή μοι προτείνων κέρδος εἶτ' ἀποστέρει. Suppl. 1064 Ζεὺς ἄναξ ἀποστεροίη γάμον δυσάνορα.

ἀποστρέφω *averto*. Ag. 850 πειρασόμεσθα πῆμ' ἀποστρέψαι νόσου. (Sic Porsonus pro πήματος τρέψαι νόσον.) Ag. 1306 τίς σ' ἀποστρέφει φόβος;

ἀποστροφή *effugium*. Pr. 769 οὐδ' ἔστιν αὐτῷ τῆσδ' ἀποστροφὴ τύχης;

ἀποσυλάω *spoliando adimo*, *eripio*. Pr. 171 ὑφ' ὅτου σκῆπτρον τιμάς τ' ἀποσυλᾶται.

ἀποσφάλλομαι *aberro*. Pr. 472 ἀποσφαλεὶς φρενῶν. Pers. 392 φόβος δὲ πᾶσι βαρβάροις προσῆν γνώμης ἀποσφαλεῖσιν.

ἀποτέμνω *deseco*, *decido*. Ag. 1410 ἀπέδικες, ἀπέτεμες. Apographa alia ἀπέταμες. V. Thes. vol. 1, 2 p. 1731.

ἀποτίω *luo*. Ag. 1338 νῦν δ' εἰ προτέρων αἷμ' ἀποτίσει. 1503 τόνδ' ἀπέτισεν τέλεον νεαροῖς ἐπιθύσας.

ἄποτμος *infelix*, *miser*. Pers. 280 ἴυζ' ἄποτμον βοάν.

ἀποτρέπω *averto*. Suppl. 880 ὁ μέγας Νεῖλος ὑβρίζοντά σ' ἀποτρέψειεν ἄϊστον ὕβριν. 891 900 βοὰν φοβερὸν ἀπότρεπε. ‖ ἀποτρέπομαι *aversor*. Sept. 1060 φοβοῦμαι κἀποτρέπομαι δεῖμα πολιτῶν.

ἀποτροπή *averruncatio*. Pers. 217 εἴ τι φλαῦρον εἶδες, αἰτοῦ τῶνδ' ἀποτροπὴν λαβεῖν.

ἀπότροπος *averruncus*. Pers. 203 ἀποτρόποισι δαίμοσι θέλουσα θῦσαι πέλανον. Ch. 42 τοιάνδε χάριν ἀχάριτον, ἀπότροπον κακῶν. ‖ *aversandus*. Ch. 155 ἀπότροπον ἄγος ἀπεύχετον.

ἀπουσία *absentia*. Ag. 915 ἀπουσίᾳ μὲν εἶπας εἰκότως ἐμῇ. 1259 λέοντος εὐγενοῦς ἀπουσίᾳ.

ἀποφαίνομαι *in lucem edo*, *instituo*. Eum. 309 Μοῦσαν στυγερὰν ἀποφαίνεσθαι δεδόκηκεν. Pers. 857 πρῶτα μὲν εὐδοκίμου στρατιᾶς (εὐδοκίμους στρατιάς Wellauerus) ἀπεφαινόμεθα.

ἀποφθείρω *perdo*. Ch. 256 πατρὸς νεοσσοὺς τούσδ' ἀποφθείρας. 258 ἀετοῦ γένεθλ' ἀποφθείρας.

ἀποφθίνω *pereo*. Ag. 858 ἐν χρόνῳ δ' ἀποφθίνει τὸ τάρβος ἀνθρώποισιν. 1454 πρὸς γυναικὸς δ' ἀπέφθισεν βίον.

ἀποφθορά *corruptio.* Eum. 187 σπέρματός τ' ἀποφθορᾷ.

ἀποφύλιος *tribum non habens, peregrinus.* Suidas ἀποφώλιοι: ξένοι (ξένιοι Anecd. Bekkeri p. 439, 12), οἱ φυλὴν μὴ νέμοντες. οὕτως Αἰσχύλος. ἢ ἀπαίδευτοι. φωλεοὶ γὰρ τὰ παιδευτήρια, ὥς φασιν οἱ Ἴωνες. Hesychius, ἀποφύλιοι: ξένοι οἱ μὴ ἔχοντες φυλήν. Αἰσχύλος (fr. 375. excidit nomen fabulae) σατυρικῷ. Veram vocabuli scripturam confirmat Pollux 3, 56, qui ἀποφύλιον interpretatur τὸν φυλὴν μὴ ἔχοντα. Apud Suidam duo confusa sunt vocabula similia, ἀποφύλιοι, quod est ξένοι, et Homericum ἀποφώλιοι, quod per ἀπαίδευτοι explicat: de quo v. Thes. vol. 1, 2 p. 1780.

ἀπόχρη *sufficit.* Ag. 1574 κτεάνων τε μέρος βαιὸν ἐχούσῃ πᾶν ἀπόχρη μοι.

[**ἀποχρήματος.** Ch. 275 in versibus spuriis ἀποχρημάτοισι (ἀπόχρηματοῖσι M) ζημίαις ταυρούμενον, quod interpolator sic, ut videtur, intelligi voluit, *bonorum* s. *opum privatione exasperatum.*]

ἀποψῑλόω *denudo.* Ch. 695 φίλων ἀποψιλοῖς με τὴν παναθλίαν.

ἀποψύχομαι *exanimo.* Fr. 102 ἀπεψύχη, quod per ἀπεπνευματίσθη exp. Hesychius.

ἄπριγδα i. q. ἀπρίξ, *tenaciter.* Pers. 1057 1064 ἄπριγδ' ἄπριγδα, μάλα γοεδνά, ubi schol. ἐπίφθεγμα ἐπὶ τῶν μετὰ σφοδρότητος τιλλόντων τὰς τρίχας.

ἀπρικτόπληκτος *tenaciter, continuo percussus.* Ch. 425 ἀπρικτόπληκτα πολυπλάνητα δ' ἦν ἰδεῖν ἐπασσυτεροτριβῆ τὰ χερὸς ὀρέγματα. Sic Blomfieldus correxit quod est in M ἄπριγκτοι πληκτά. de quo v. L. Dindorfius in Thes. vol. 1, 2 p. 1814. Vocabulum ab ἀπρίξ derivatum: ut non opus sit ἀπριγδόπληκτα scribi, quod proposuit Blomfieldus.]

ἀπροβούλως *imprudenter.* Ch. 619 Νῖσον ἀθανάτας τριχὸς νοσφίσασ' ἀπροβούλως.

ἀπρομήθητος *improvisus.* Suppl. 357 ἐξ ἀέλπτων κἀπρομηθήτων.

ἀπρόξενος *hospite carens.* Suppl. 239 οὐδὲ κηρύκων ὕπο, ἀπρόξενοί τε, νόσφιν ἡγητῶν.

ἀπρόοπτος *improvisus.* Pr. 1074 Ζεὺς ὑμᾶς εἰς ἀπρόοπτον πῆμ' εἰσέβαλεν.

ἀπρόσδεικτος *incommonstrabilis* (propter altitudinem). Suppl. 794 λισσὰς αἰγίλιψ ἀπρόσδεικτος οἰόφρων κρεμὰς γυπιὰς πέτρα.

ἀπροσδόκητος *inexspectatus.* Pr. 680 ἀπροσδόκητος — ἀφνίδιος μόρος. Suppl. 712 ἀπροσδοκήτους τούσδε καὶ νέους λόγους.

ἀπρόσκοπος *non praevidens.* Eum. 105 ἐν ἡμέρᾳ δὲ μοῖρ' ἀπρόσκοπος φρενῶν. Sic ex schol. (qui per οὐ προορᾷ exp.) correctum quod est in M μοῖρα πρόσκοπος βροτῶν.

ἀπρόσοιστος *qui sustineri non potest.* Pers. 91 ἀπρόσοιστος γὰρ ὁ Περσᾶν στρατός.

ἄπτερος *non alatus.* Eum. 51 ἄπτεροί γε μὴν ἰδεῖν αὗται. 250 ἀπτέροις πωτήμασιν. Fr. 298 ἄπτεροι Πελειάδες. quae ἄπτεροι dicuntur διὰ τὴν πρὸς τοὺς ὄρνεις ὁμωνυμίαν, ut monet Athenaeus 11 p. 491 a. ‖ Improprie Ag. 276 ἀλλ' ἦ σ' ἐπίανέν τις ἄπτερος φάτις. Scholiasta, ἰσόπτερος, κούφη. Hesychius ἄπτερα: ἰσόπτερα, ταχέα, ἡδέα. Idem ἄπτερος: αἰφνίδιος, παρὰ Ὁμήρῳ. ὁ προσηνὴς ἢ ταχύς. Αἰσχύλος Ἀγαμέμνονι. [αἰφνίδιον.] Idem ἀπτέρωτα: ταχέα, αἰφνίδια. Etym. M. p. 133, 26. ἄπτερος: "τῇ δ' ἄπτερος ἔπλετο μῦθος." (apud Hom. Od. 7, 57 et alibi) ταχὺς πρὸς τὸ πεισθῆναι, καὶ ἰσόπτερος. ἡ γὰρ ᾱ στέρησις δηλοῖ καὶ τὸ ὅμοιον καὶ τὸ ἴσον, οἷον ἀτάλαντος, ἄλοχος. ἔνιοι δὲ οὐ παραπτὰς, ἀλλ' ἔμμονος. ἔνιοι δὲ ἄπτερον τὸ ἡδὺ, ἄσμενον, ὀρθόν. Aliorum grammaticorum de hoc voc. et ἀπτερέως notationes collectae sunt in Thes. vol. 1, 2 p. 1831. Recte Hermannus "Apud Atticorum tragicos sicubi ἄπτερος invenitur, propria significatione nunc non alatum notat, ut in Eum. 51 250. et in Iph. Taur. 1095, nunc implumem, ut in Herc. fur. 1039 ὁ δ', ὥς τις ὄρνις ἄπτερον καταστένων | ὠδῖνα τέκνων, πρέσβυς ὑστέρῳ ποδὶ | πικρὰν διώκων ἤλυσιν πάρεσθ' ὅδε. Et hic quidem locus accommodatissimus est ad tuendam hanc vocem in Agamemnone contra Turnebi coniecturam εὔπτερος. Nam ἄπτερος φάτις est rumor immaturus, cui nondum fides habenda, comparatione ab avibus petita, quibus nondum ad volatum pennis firmatae sunt alae. Non est autem obscurum etiam qui illa voce in contrarium significatum usi videntur re vera non recessisse a proprio. Sunt enim illi Homerum secuti, cui quum ἄπτερος μῦθος *dictum* significet *non avolans*, sed sedulo mente custoditum, ἄπτερος, ἀπτέρως, ἀπτερέως de iis rebus dictum est, quae non leviter aut oscitanter, sed sedulo et strenue aguntur."

ἀπτήν *implumis.* Hesychius ὀστράκων: "ἀπτῆνα, τυτθὸν, ἄρτι γυμνὸν ὀστράκων" ἀντὶ τοῦ ᾠῶν. τινὲς δὲ κελύφων, ubi improprie dictum est in versu quem Aeschyli (fr. 401) esse colligi potest ex glossa Photii p. 353, 17 ὀστράκων: τῶν τοῦ ᾠοῦ. Αἰσχύλος.

ἅπτω *necto.* Eum. 307 ἄγε δὴ καὶ χορὸν ἅψωμεν. Ch. 868 τοιάνδε πάλην μόνος ὢν ἔφεδρος δισσοῖς μέλλει θεῖος Ὀρέστης ἅψειν. ‖ *incendo.* Ag. 295 ἐρείκης θωμὸν ἅψαντες πυρί. Sept. 222 στράτευμ' ἁπτόμενον πυρὶ δαΐῳ. ubi schol. γρ. τυφόμενον, οἷον καιόμενον πολεμίῳ πυρί. τυφόμενον si scribatur, στράτευμ' in στρατόν mutandum foret. Sed videtur nihil aliud esse quam glossema verbi ἁπτομενον, etsi mirum est hoc de hominibus dici: quamobrem Prienus coniecit καὶ στρατοῦ δαπτομέναν πυρὶ δαΐῳ. ‖ Forma media ἅπτομαι *aggredior, invado.* Ag. 1608 καὶ τοῦδε τἀνδρὸς ἡψάμην θυραῖος ὤν. Fr. 244 ἄλγος δ' οὐδὲν ἅπτεται νεκροῦ.

ἄπυρος *ignis expers.* Ag. 70 ἀπύρων ἱερῶν ὀργάς, i. e. iras sacrorum non incensorum causa excitatas. Sic fere explicuit Blomfieldus in Glossario p. 160, refutata scholiastae interpretatione τῶν θυσιῶν τῶν Μοιρῶν καὶ τῶν Ἐρινύων, ἃ καὶ νηφάλια καλεῖται. ἀπύρου pro ἀθύτου dictum ex Sophocle (fr. 366) annotavit Hesychius. Pr. 880 οἴστρου δ' ἄρδις χρίει μ' ἄπυρος. Schol. οἴστρου δ' ἄρδις: ἡ ἀκμὴ τοῦ πυρός. ἄπυρος: ἡ (corrige ἢ) πολύπυρος (si α sit ἐπιτατικόν) διὰ τὸ σφοδρὸν τοῦ πάθους, ἢ πῦρ μὴ ἔχουσα. Vera altera interpretatio est. ἄπυρος addit, ut improprie dictum esse significet.

ἀπύω (– ⏑ –) *voco.* Pr. 593 πόθεν ἐμοῦ σὺ πατρὸς ὄνομ' ἀπύεις; Sept. 144 λιταῖσί σε θεοκλύτοις ἀπύουσαι πελαζόμεσθα. ἀπύουσαι etsi producta syllaba secunda dici potuit, qua mensura usus est Moschus 2, 120 et in composito ἀνηπύοντος ib. 98, tamen probabilius videtur quod Seidlerus proposuit ἀϋτοῦσαι. Pers. 124 τοῦτ' ἔπος γυναικοπληθὴς ὅμιλος ἀπύων. V. s. v. ἠπύω.

ἄπωθεν *procul, e longinquo.* Fr. 370 σὺ δὲ | ἄπωθεν εἶδες αὐτὸν (sic probabiliter correctum

est quod ap. Plut. Mor. p. 625d legitur οὐδὲ ἄπο αὐτόν, οὐ γὰρ ἐγγύθεν.

ἥβη *pubertas*, *iuventus*. Sept. 11 τὸν ἐλλείποντ' ἔτι ἥβης ἀκμαίας. Pers. 544 χλιδανῆς ἥβης τέρψιν. 681 ἥλικές θ' ἥβης ἐμῆς. Fr. 296 γῆρας γὰρ ἥβης ἐστὶν ἐνδικώτερον. Non raro iuvenes ipsi ἥβη appellantur. Sic Pers. 512 ὡς στένειν πόλιν Περσῶν, ποθοῦσαν φιλτάτην ἥβην χθονός. 733 οἵαν ἄρ' ἥβην ξυμμάχων ἀπώλεσε. 923 γᾶ δ' αἰάζει τὰν ἐγγαίαν ἥβαν. Ag. 109 Ἑλλάδος ἥβας ξύμφρονε ταγώ. Suppl. 79 ἥβᾳ (ηβαι M) μὴ τέλεον δόντες ἔχειν παρ' αἶσαν. 663 ἥβας δ' ἄνθος ἄδρεπτον ἔστω.

ἡγέομαι *praeeo*. Sept. 645 ἄγει γυνή τις σωφρόνως ἡγουμένη. Pers. 174 ὧν ἂν δύναμις ἡγεῖσθαι θέλῃ. 400 τὸ δεξιὸν μὲν πρῶτον εὔτακτον κέρας ἡγεῖτο κόσμῳ. Eum. 1010 ὑμεῖς δ' ἡγεῖσθε, πολισσοῦχοι παῖδες Κραναοῦ, τοῖσδε μετοίκοις. ‖ *duco*. Ag. 911 ἐς δῶμ' ἄελπτον ὡς ἂν ἡγῆται Δίκη. Eum. 33 μαντεύομαι γάρ, ὡς ἂν ἡγῆται θεός. Suppl. 501 ἡγεῖσθε βωμοὺς ἀστικούς. ‖ *imperium teneo*. Ag. 1363 ὑπείξομεν δόμων καταισχυντῆρσι τοῖσδ' ἡγουμένοις; ‖ *existimo*. Pr. 1035 μηδ' αὐθαδίαν εὐβουλίας ἀμείνον' ἡγήσῃ ποτέ. Ch. 902 ἅπαντας ἐχθροὺς τῶν θεῶν ἡγοῦ πλέον. 905 καὶ ζῶντα γάρ νιν κρείσσον' ἡγήσω πατρός.

ἡγεμών (Dorice ἁγεμών) *dux*. Pers. 315 ἵππου μελαίνης ἡγεμὼν τρισμυρίας. 640 de diis Γᾶ τε καὶ ἄλλοι χθονίων ἁγεμόνες. 765 Μῆδος γὰρ ἦν ὁ πρῶτος ἡγεμὼν στρατοῦ. Ag. 184 ἡγεμὼν ὁ πρέσβυς νεῶν Ἀχαιικῶν. Suppl. 722 αὐτὴ δ' ἡγεμὼν ὑπὸ χθόνα στείλασα λαῖφος παγκρότως ἐρέσσεται.

ἡγητής *dux*. Suppl. 239 νόσφιν ἡγητῶν.

ἠδέ *et*. Sept. 862 Ἀντιγόνη τ' ἠδ' Ἰσμήνη. Pers. 16 535 Σούσων ἠδ' Ἀγβατάνων. 21 22 Ἀμίστρης ἠδ' Ἀρταφρένης καὶ Μεγαβάτης ἠδ' Ἀστάσπης. 26 τοξοδάμαντές τ' ἠδ' ἱπποβάται. 289 εὔνιδας ἔκτισσαν ἠδ' ἀνάνδρους. [492 Μαγνητικὴν δὲ γαῖαν ἔς τε Μακεδόνων χώραν ἀφικόμεσθα, ubi ἠδὲ pro ἔς τε Robortellus.] 563 ἠδ' Ἰαόνων χέρες. Sic correxi pro διὰ δ' Ἰαόνων χέρας. 859 ἠδὲ νομίσματα πύργινα πάντ' ἐπηύθυνον. 885 Χίος ἠδὲ Πάρος. 891 καὶ Ῥόδον ἠδὲ Κνίδον Κυπρίας τε πόλεις, Πάφον ἠδὲ Σόλους. 959 Πελάγων ἠδ' Ἀγδαβάτας. 972 Ἀρτεμβάρης τ' ἠδ' Ὑσταίχμας. 996 Δίαιξίν τ' ἠδ' Ἀρσάκην. Ag. 42 Μενέλαος ἄναξ ἠδ' Ἀγαμέμνων. Ch. 232 σπάθης τε πληγὰς ἠδὲ θήρειον γραφήν. Sic Turnebus pro εἰς δέ. 1025 ᾄδειν ἕτοιμος ἠδ' ὑπορχεῖσθαι. Eum. 188 χλοῦνις ἠδ' ἀκρωνία. 414 πρόσω δικαίων ἠδ' ἀποστατεῖ θέμις.

ἤδη *iam*. Pr. 406 πρόπασα δ' ἤδη στονόεν λέλακε χώρα. 911 πατρός τ' ἀρὰ Κρόνου τότ' ἤδη παντελῶς κρανθήσεται. Sept. 22 χρόνον γὰρ ἤδη τόνδε πυργηρουμένοις. 59 ἐγγὺς γὰρ ἤδη πάνοπλος Ἀργείων στρατὸς χωρεῖ. 377 Τυδεὺς μὲν ἤδη πρὸς πύλαισι Προιτίσι βρέμει. [472 πέμποιμ' ἂν ἤδη τόνδε. 500 φόβος γὰρ ἤδη πρὸς πύλαις κομπάζεται. 650 σὺ δ' αὐτὸς ἤδη γνῶθι.] 702 θεοῖς μὲν ἤδη πως παρημελήμεθα. 885 ἤδη διήλλαχθε σὺν σιδάρῳ. 1047 ἤδη τὰ τοῦδ' οὐ διατετίμηται (hoc corruptum) θεοῖς. Pers. 9 ἀμφὶ δὲ νόστῳ τῷ βασιλείῳ καὶ πολυχρύσου στρατιᾶς ἤδη — ὀρσολοπεῖται θυμός. 65 πεπέρακεν μὲν ὁ περσέπτολις ἤδη βασίλειος στρατός. 603 ἐμοὶ γὰρ ἤδη πάντα μὲν φόβου πλέα — φαίνεται. 670 νεολαία γὰρ ἤδη κατὰ πᾶσ' ὄλωλεν. Ag. 79 φυλλάδος ἤδη κατακαρφομένης. 335 ἐν αἰχμαλώτοις Τρωϊκοῖς οἰκήμασιν ναίουσιν ἤδη. 971 τότ' ἤδη ψῦχος ἐν δόμοις πέλει. 1057 ἕστηκεν ἤδη μῆλα πρὸς σφαγὰς πυρός. 1209 ἤδη τέχναισιν ἐνθέοις ᾑρημένη; 1210 ἤδη πολίταις πάντ' ἐθέσπιζον πάθη. 1578 φαίην ἂν ἤδη νῦν. Ch. 113 αὐτὴ σὺ ταῦτα μανθάνουσ' ἤδη φράσαι. 163 ἔχει μὲν ἤδη γαπότους χοὰς πατήρ. 377 τῶν μὲν ἀρωγοὶ κατὰ γῆς ἤδη. 513 τὰ δ' ἄλλ' — ἔρδοις ἂν ἤδη. Eum. 50 εἶδόν ποτ' ἤδη Φινέως γεγραμμένας δεῖπνον φερούσας. 60 τἀντεῦθεν ἤδη — μελέσθω Λοξίᾳ. 238 ἀμβλὺν ἤδη. 494 πάντας ἤδη τόδ' ἔργον εὐχερείᾳ συναρμόσει βροτούς. 589 ἓν μὲν τόδ' ἤδη τῶν τριῶν παλαισμάτων. 609 ἤδη σὺ μαρτύρησον. 674 ἤδη κελεύω τούσδ' ἀπὸ γνώμης φέρειν ψῆφον. 676 ἡμῖν μὲν ἤδη πᾶν τετόξευται βέλος. 681 κλύοιτ' ἂν ἤδη θεσμόν. Suppl. 208 θέλοιμ' ἂν ἤδη σοὶ πέλας

θρόνους ἔχειν. 271 ἔχουσα δ' ἤδη τἀπ' ἐμοῦ τεκμήρια. [950 ἤδη corruptum ex ἢ δεῖ.]

ἥδομαι *laetor*. Pr. 758 ἥδοι' ἄν, οἶμαι, τήνδ' ἰδοῦσα συμφοράν. [ἡδόμεθ' Eum. 312 temere illatum ab Cantero, de quo loco dixi s. v. εὔχομαι.]

ἡδονή *gaudium, voluptas*. Pr. 261 οὔτ' ἐμοὶ λέγειν καθ' ἡδονὴν σοί τ' ἄλγος. 494 χροιὰν τίνα ἔχοντ' ἂν εἴη δαίμοσιν πρὸς ἡδονήν. 631 μοῖραν δ' ἡδονῆς κἀμοὶ πόρε. Pers. 841 ψυχῇ διδόντες ἡδονὴν (recte Pauwius ψυχὴν διδόντες ἡδονῇ) καθ' ἡμέραν. Suppl. 1008 μηδ' αἶσχος ἡμῖν, ἡδονὴν δ' ἐχθροῖς ἐμοῖς πράξωμεν.

ἡδύς (ἁδύς Dorice) *suavis*. Pr. 536 ἁδύ (sic scripsi pro ἡδύ) τι θαρσαλέαις τὸν μακρὸν τείνειν βίον ἐλπίσι. Ag. 602 τί γὰρ γυναικὶ τούτου φέγγος ἥδιον δρακεῖν;

Ἠδωνίς *Thracia*. Pers. 495 Ἠδωνίδ' αἶαν. νεβρίδας Ἠδωνίδας Aeschylum in Edonis dixisse colligi potest e locis grammaticorum ad fr. 60 indicatis.

Ἠδωνοί inscripta fuit Aeschyli fabula (fr. 55—64).

[ἠέ vitiose pro ἐή, quod v.]

ἦθος *indoles*. Ag. 727 ἦθος τὸ πρόσθε τοκήων. Sic Coningtonus pro ἔθος. Pr. 184 ἀκίχητα γὰρ ἤθεα καὶ κέαρ ἀπαράμυθον ἔχει Κρόνου παῖς. Pers. 649 φίλα γὰρ κέκευθεν ἤθη (ὁ ὄχθος). || *sedes consueta*. Suppl. 64 πενθεῖ νέον οἶκτον ἠθέων, quod schol. exp. τῶν συνήθων τόπων. V. Thes. vol. 4 p. 116.

ἠϊών (ἀϊών Dorice) *ripa*. Ag. 1159 ἀμφὶ σὰς ἀϊόνας τάλαιν' ἠνυτόμαν τροφαῖς.

ἥκιστα *minime*. Ch. 116 εὖ τοῦτο κἀφρένωσας οὐχ ἥκιστά με.

ἥκω *venio*. Differt ab ἔρχεσθαι et ἱκνεῖσθαι, quae simplicem habent veniendi significationem: ἥκειν vero duplicem continet notionem, venisse et adesse. Tria autem tantum tempora usitata sunt, praesens ἥκω, imperfectum ἧκον et futurum ἥξω. Pr. 1 χθονὸς μὲν εἰς τηλουρὸν ἥκομεν πέδον. 284 ἥκω δολιχῆς τέρμα κελεύθου διαμειψάμενος πρὸς σέ. 299 καὶ σὺ δὴ πόνων ἐμῶν ἥκεις ἐπόπτης; Sept. 40 ἥκω σαφῆ τἀκεῖθεν ἐκ στρατοῦ φέρων. 861 ἀλλὰ γὰρ ἥκουσ' αἵδ' ἐπὶ πρᾶγος πικρόν. Pers. 510 ἥκουσιν ἐκφυγόντες οὐ πολλοί τινες ἐφ' ἑστιοῦχον γαῖαν. 692 ἐκείνοις ἐνδυναστεύσας ἐγὼ ἥκω. Ag. 258 ἥκω σεβίζων σόν, Κλυταιμνήστρα, κράτος. 522 ἥκει γὰρ ἡμῖν φῶς ἐν εὐφρόνῃ φέρων. 531 ἄναξ Ἀτρείδης — ἥκει. 647 εὐάγγελον ἥκοντα πρὸς χαίρουσαν εὐεστοῖ πόλιν. 1066 λιποῦσα μὲν πόλιν νεαίρετον ἥκει. 1560 ὄνειδος ἥκει τόδ' ἀντ' ὀνείδους. 1625 τοὺς ἥκοντας ἐκ μάχης νέον. Ch. 3 ἥκω γὰρ εἰς γῆν τήνδε καὶ κατέρχομαι. 215 εἰς ὄψιν ἥκεις ὧνπερ ἐξηύχου πάλαι. 659 πρὸς οὕσπερ ἥκω καὶ φέρω καινοὺς λόγους. 827 ὅταν ἥκῃ μέρος ἔργων. 838 ἥκω μὲν οὐκ ἄκλητος. Eum. 236 Λοξίου κελεύμασιν ἥκω. Suppl. 735 νῆες ὡς ὠκύπτεροι ἥκουσι. Fr. 5 de Palicis πάλιν γὰρ ἥκουσ' ἐκ σκότου τόδ' ἐς φάος. Sic ap. Macrob. Sat. 5, 19, cuius codex optimus ἵκουσ', quod propter Παλικῶν nominis etymologiam positum videri potest. Sed sensus futurum potius postulat ἥξουσ', quod restituit Burgesius. Suppl. 176 ἥκετε Porson. pro ἵκετε. Fr. 191 ἥκομεν — τοὺς σοὺς ἄθλους — ἐποψόμενοι. Ag. 1801 ἥκει τόδ' ἦμαρ. 605 ἀπάγγειλον πόσει ἥκειν ὅπως τάχιστα. 864 καὶ τὸν μὲν ἥκειν, τὸν δ' ἐπεισφέρειν κακοῦ κάκιον ἄλλο πῆμα. Suppl. 933 πῶς φῶ πρὸς τίνος τ' ἀφαιρεθεὶς ἥκειν γυναικῶν αὐτανέψιον στόλον; || Imperfectum [Eum. 213 παρ' οὐδὲν ἧκέ σοι Ἥρας τελείας καὶ Διὸς πιστώματα. Sic Hermannus pro ἠρκέσω.] Pr. 661 ἧκον δ' ἀναγγέλλοντες. || Futurum Pers. 524 ἥξω λαβοῦσα πέλανον ἐξ οἴκων ἐμῶν. Ch. 561 ἥξω σὺν ἀνδρὶ τῷδ' ἐφ' ἑρκείους πύλας. Eum. 488 κρίνασα δ' ἀστῶν τῶν ἐμῶν τὰ βέλτατα ἥξω διαιρεῖν τοῦτο πρᾶγμ' ἐτητύμως, ubi suspectum est ἥξω, ab Aurato in ἄξω, ab Schneidewino in τάξω mutatum. Weilio tres ante ἥξω versus excidisse videntur. Suppl. 475 διὰ μάχης ἥξω τέλους. 726 ἀρωγοὺς ξυνδίκους θ' ἥξω λαβών. Pr. 1021 ἄψορρον ἥξεις ἐς φάος. Fr. 195 Βορεάδας ἥξεις πρὸς πνοάς. 196 ἥξεις δὲ Λιγύων εἰς ἀτάρβητον στρατόν. Pr. 103 οὐδέ μοι ποταίνιον πῆμ' οὐδὲν ἥξει. 192 εἰς ἀρθμὸν ἐμοὶ καὶ φιλότητα σπεύδων σπεύδοντί ποθ' ἥξει. Ag. 253 τορὸν γὰρ ἥξει σύνορθρον αὐγαῖς. 619 εἰ νόστιμος — πάλιν ἥξει (ἥκει Karstenus) ξὺν ὑμῖν. 1240 τὸ μέλλον ἥξει. 1280 ἥξει γὰρ ἡμῶν ἄλλος αὖ τιμάορος. Ch. 1020 μόχθος δ' ὁ μὲν αὐτίχ', ὁ δ' ἥξει. Pr. 858 ἥξουσι θηρεύοντες οὐ θηρασίμους γάμους. Sept. 445 πέποιθα δ' αὐτῷ ξὺν δίκῃ τὸν πυρφόρον ἥξειν κεραυνόν. Ag. 679 ἐλπίς τις αὐτὸν πρὸς δόμους ἥξειν πάλιν. || Cum accusativo sine praepositione. Pr. 717 ἥξεις δ' ὑβριστὴν ποταμόν. 724 Ἀμαζόνων στρατὸν ἥξεις (apogr. multa ἵξῃ) στυγάνορα. 730 ἰσθμὸν — Κιμμερικὸν ἥξεις. 735 ἤπειρον ἥξεις Ἀσιάδα. 808 ἥξεις κελαινὸν φῦλον. Fr. 198 ἔπειτα δ' ἥξεις δῆμον ἐνδικώτατον, ubi ἥξει apud Steph. Byz. s. v. Ἄβιος: unde ἵξει Meinekius.

Ἠλέκτρα *Electra*, Agamemnonis filia, quae in scenam prodit in Choephoris. Ch. 16 Ἠλέκτραν δοκῶ στείχειν. 252 Ἠλέκτραν λέγω.

Ἠλέκτραι *Electrae*, porta Thebarum. Sept. 422 Καπανεὺς δ' ἐπ' Ἠλέκτραισιν εἴληχεν πύλαις.

Ἡλιάδες inscripta fuit Aeschyli fabula (fr. 65—68).

ἠλίβατος *praeceps*. Suppl. 351 ἐν πέτραις ἠλιβάτοις. Probabilius Doricum ἀλιβάτοις, ut ap. Eur. Suppl. 81.

ἠλίθιος *vanus, inutilis*. Ag. 366 μήθ' ὑπὲρ ἄστρων βέλος ἠλίθιον σκήψειεν.

ἠλιθιόω *attonitum reddo*. Pr. 1061 μὴ φρένας ὑμῶν ἠλιθιώσῃ βροντῆς μύκημ' ἀτέραμνον.

ἡλικία *aetas*. Pers. 914 de aetate senili τήνδ' ἡλικίαν ἐσιδόντ' ἀστῶν.

ἧλιξ *aequalis*. Pers. 681 ἥλικές θ' ἥβης ἐμῆς. Ch. 610 παιδὸς δαφοινὸν δαλὸν ἥλικα, ubi v. schol.

ἡλιόκτυπος *ab sole ictus*. Suppl. 155 μελανθὲς ἡλιόκτυπον γένος. Sic Wellauerus pro ἢ διόκτυπον.

ἥλιος (ἅλιος Dorice) *sol*. Pr. 22 σταθευτὸς δ' ἡλίου φοίβῃ φλογί. 25 πάχνην θ' ἑῴαν ἥλιος σκεδᾷ πάλιν. 91 τὸν πανόπτην κύκλον ἡλίου καλῶ. 707 et Ag. 1180 ἡλίου πρὸς ἀντολάς. Pr. 796 ἃς οὔθ' ἥλιος προσδέρκεται ἀκτῖσιν. 808 πρὸς ἡλίου ναίουσι πηγαῖς. Sept. 446 μεσημβρινοῖσι θάλπεσιν τοῖς ἡλίου. Pers. 364 εὖτ' ἂν φλέγων ἀκτῖσιν ἥλιος χθόνα λήξῃ. 377 ἐπεὶ δὲ φέγγος ἡλίου κατέφθιτο. 504 φλέγων γὰρ αὐγαῖς λαμπρὸς ἡλίου κύκλος. 710 ἕως ἔλευσσες αὐγὰς ἡλίου. Ag. 288 ὥς τις ἥλιος. 508 χαῖρε δ' ἡλίου φάος. 575 ὡς κομπάσαι τῷδ' εἰκὸς ἡλίου φάει. 658 λαμπρὸν ἡλίου φάος. 676 εἰ δ' οὖν τις ἀκτὶς ἡλίου νιν ἱστορεῖ. 1323 ἡλίῳ (ἡλίου Iacobs.) δ' ἐπεύχομαι πρὸς ὕστατον φῶς. Eum. 926 φαιδρὸν ἁλίου σέλας. Suppl. 213 καλοῦμεν αὐγὰς ἡλίου σωτηρίους. 255 πρὸς δύνοντος ἡλίου. Fr. 40 λαμπρὸν ἡλίου φάος. 169 ἃς οὔτε πέμφιξ ἡλίου προσδέρκεται. 304 ἐν δ' ἥλιος πυρωπὸς ἐκλάμψας χθονὶ τήκει πετραίαν χιόνα. || *Sol* deus. Pers. 232 τῆλε

πρὸς δυσμαῖς ἄνακτος Ἡλίου φθινασμάτων. Ag. 633 πλὴν τοῦ τρέφοντος Ἡλίου χθονὸς φύσιν. Ch. 986 ὡς ἴδῃ πατήρ, οὐχ οὑμός, ἀλλ' ὁ πάντ' ἐποπτεύων τάδε Ἥλιος. Fr. 192 ὁ παντόπτης Ἥλιος.

ἡλιοστιβής *ab solc perlustratus*. Pr. 791 πρὸς ἀντολὰς φλογῶπας ἡλιοστιβεῖς.

ἧμαι *sedeo*. Pr. 366 κορυφαῖς δ' ἐν ἄκραις ἥμενος μυδροκτυπεῖ Ἥφαιστος. Sept. 513 Ζεὺς πατὴρ ἐπ' ἀσπίδος σταδαῖος ἧσται. Ag. 862 ἧσθαι δόμοις ἔρημον ἔκπαγλον κακόν. Ch. 921 τρέφει δέ γ' ἀνδρὸς μόχθος ἡμένας ἔσω. 975 ἐν θρόνοις τόθ' ἥμενοι. Eum. 47 ἐν θρόνοισιν ἥμενος. 440 βρέτας τόδε ἧσαι φυλάσσων. 806 λιπαροθρόνοισιν ἡμένας ἐπ' ἐσχάραις. 997 ἵκταρ ἥμενοι Διός. Suppl. [99 ἥμενον (μνῆμον Hermannus) ἄνω φρόνημα.] 597 οὔτινος ἄνωθεν ἡμένου. Fr. 299 ἐν στέγῃ τις ἥμενος. [Ag. 724 fortasse scribendum ἧστ' pro ἔσχ'. Ch. 391 ἧται pro ἄηται restituit Porsonus.] Cum accusativo Ag. 183 βιαίως σέλμα σεμνὸν ἡμένων.

ἦμαρ *dies*. Sept. 21 ἐς τόδ' ἦμάρ. Ag. 557 τί δ' οὐ στένοντες, οὐ λαχόντες (κλαίοντες Stanleius) ἤματος μέρος; 636 εὔφημον ἦμαρ. 668 λευκὸν κατ' ἦμαρ. 1301 ἥκει τόδ' ἦμαρ. 1592 κρεουργὸν ἦμαρ εὐθύμως ἄγειν δοκῶν. Ch. 612 μοιρόκραντον ἐς ἆμαρ (ἦμαρ M). [Eum. 695 τό τ' ἦμαρ καὶ κατ' εὐφρόνην ὁμῶς.] Pers. 429 εἰ δέκ' ἤματα στοιχηγοροίην. Ch. 261 βουθύτοις ἐν ἤμασιν. De rerum secundarum luce Pers. 301 λευκὸν ἦμαρ νυκτὸς ἐκ μελαγχίμου. Ag. 900 κάλλιστον ἦμαρ εἰσιδεῖν ἐκ χείματος.

ἡμεῖς et casus reliquos v. s. v, ἐγώ.

ἡμέρα (ἁμέρα Dorice) *dies*. Pers. 386 λευκόπωλος ἡμέρα πᾶσαν κατέσχε γαῖαν. 431 ἡμέρᾳ μιᾷ. 841 ψυχὴν διδόντες ἡδονῇ καθ' ἡμέραν. Ag. 320 Τροίαν Ἀχαιοὶ τῇδ' ἔχουσ' ἐν ἡμέρᾳ. 1577 ὦ φέγγος εὖφρον ἡμέρας δικηφόρου. Ch. 818 καθ' ἡμέραν δ' οὐδὲν ἐμφανέστερος. Eum. 105 ἐν ἡμέρᾳ δὲ μοῖρ' ἀπρόσκοπος βροτῶν. Suppl. 732 χρόνῳ τοι κυρίῳ τ' ἐν ἡμέρᾳ. Fr. 239 οὔπω τις Ἀκτέων' ἄθηρος ἡμέρα κενὸν — ἔπεμψεν ἐς δόμους. 295 (apud Stobaeum Flor. 98, 49) τὸ γὰρ βρότειον σπέρμ' ἐφ' ἡμέραν φρονεῖ. Codices ἐφήμερα, nisi quod in cod. Vindob. et apud Apostolium 20, 19 ἐφημέρια. ἐφ' ἡμέρᾳ Lobeckius ad Soph. Ai. p. 444. 155 δώδεχ' ἡμερῶν ὁδόν. Pr. 751 τὰς ἁπάσας ἡμέρας. Ag. 1666 ἐν ὑστέραισιν ἡμέραις.

ἡμερεύω *diem transigo*. Ch. 710 ἡμερεύοντας ξένους μακρᾶς κελεύθου τυγχάνειν τὰ πρόσφορα, ubi genitivus a πρόσφορα regitur, quocum Abreschius comparavit Eur. Hel. 515 τὰ πρόσφορα τῆς νῦν παρούσης ξυμφορᾶς αἰτήσομαι.

ἡμερήσιος *diurnus*. Ag. 22 ἡμερήσιον φάος.

ἡμερολεγδόν *singulos dies numerando*. Pers. 63 τοκέες τ' ἄλοχοί θ' ἡμερολεγδὸν τείνοντα χρόνον τρομέονται. Vitiosum qui in M est accentum ἡμερόλεγδον correxit Goettlingius.

ἥμερος (Dorice ἅμερος) *mansuetus*. Ag. 721 ἅμερον, εὐφιλόπαιδα καὶ γεραροῖς ἐπίχαρτον. 1632 κρατηθεὶς δ' ἡμερώτερος φανεῖ.

ἡμεροσκόπος *interdiu speculans*. Sept. 66 πιστὸν ἡμεροσκόπον ὀφθαλμὸν ἕξω.

ἡμερόφαντος *interdiu apparens*. Ag. 82 ὄναρ ἡμερόφαντον.

ἡμερόω *mansuefacio*. Eum. 14 χθόνα ἀνήμερον τιθέντες ἡμερωμένην.

ἡμέτερος (ἁμέτερος Dorice) *noster*. Sept. 627 δικαίας λιτὰς ἡμετέρας (scripsi ἁμετέρας). [Ib. 146 verba ἁμετέρᾳ πόλει et 162 ἁμετέρῳ στρατῷ ex coniectura addidi.] Pers. 146 τὸ πατρωνύμιον γένος ἡμέτερον. Eum. 375 ἁμετέραις (ἡμετέραις M) ἐφόδοις μελανείμοσιν. 975 ἔρις ἡμετέρα. Suppl. 2 στόλον ἡμέτερον. 17 γένος ἡμέτερον. 532 παλαίφατον ἁμέτερον γένος. 968 ἡμέτερον πατέρα.

ἡμίοπος *exiguus*. Fr. 89 τὸν ἡμίοπον καὶ τὸν ἐλάσσονα (καὶ τὸν ἐλάσσονα delet Bothius. καὶ τὸν ἐλάσσω Porsonus) ταχέως ὁ μέγας καταπίνει.

ἥμισυς *dimidius*. Eum. 428 δυοῖν παρόντοιν ἥμισυς λόγος πάρα. Sic ex apogr. pro λόγου.

ἡμορίς *vacua*. Hesychius ἡμορίς: κενή, ἐστερημένη. Αἰσχύλος Νιόβῃ (fr. 162). ἥμορος per ἄμοιρος explicant Hesychius et Photius p. 70, 11.

ἤν. V. ἐάν. ‖ ἦν. V. εἰμί.

ἡνία *habena*. Pr. 1010 πρὸς ἡνίας μάχει. Pers. 193 ἐν ἡνίαισί τ' εἶχεν εὔαρκτον στόμα.

ἡνίκα *quando*. Fr. 305, 7 νέας δ' ὀπώρας ἡνίκ' αὐανθῇ στάχυς.

ἡνιοστροφέω *habenas rego*. Ch. 1022 ἡνιοστροφῶ (sic Stanleius pro ἡνιοστρόφου) δρόμου ἐξωτέρω.

ἧπαρ *iecur*. Pr. 1025 κελαινόβρωτον δ' ἧπαρ ἐκθοινήσεται. Est sedes affectuum: Ag. 432 πολλὰ γοῦν θιγγάνει πρὸς ἧπαρ. 792 δῆγμα δὲ λύπης οὐδὲν ἐφ' ἧπαρ προσικνεῖται. Ch. 272 ἄτας ὑφ' ἧπαρ θερμὸν ἐξαυδώμενος. Eum. 135 ἄλγησον ἧπαρ ἐνδίκοις ὀνείδεσιν.

ἠπειρογενής *in continente natus*. Pers. 42 ἐπίπαν ἠπειρογενὲς κατέχουσιν ἔθνος.

ἤπειρος *terra continens*. Pr. 735 ἤπειρον ἥξεις Ἀσιάδα. 790 ὅταν περάσῃς ῥεῖθρον ἠπείρων ὅρον, ubi ἠπείροιν scripsi cum Herwerdeno Exerc. crit. p. 93. Pers. 718 κενώσας πᾶσαν ἠπείρου πλάκα. 737 πρὸς ἤπειρον σεσῶσθαι τήνδε. Eum. 75 δι' ἠπείρου μακρᾶς.

ἤπιος *lenis*. Pr. 482 κράσεις ἠπίων ἀκεσμάτων. [Ag. 1631 ἠπίοις vitiose pro νηπίοις, quod v.]

ἠπύω *sono*, *sonitum edo*. Sept. 206 ἱππικῶν τ' ἄπυον πηδαλίων δία στόμια πυριβρεμετᾶν χαλινῶν. Sic Lachmannus pro ἀΰπνων — διὰ στόμα. De tribus aliis locis v. s. v. ἀπύω. Frequens apud tragicos usus formae Doricae ἀπύω, de qua v. Thes. vol. 1, 2 p. 1842.

ἦρ *ver*. Pr. 455 οὔτε χείματος τέκμαρ οὔτ' ἀνθεμώδους ἦρος. Fr. 305, 4 ἦρι μὲν φαίνοντι διαπάλλει πτερόν.

Ἥρα *Iuno*. Pr. 592 Ἥρᾳ στυγητός. 601 Ἥρας ἐπικότοισι μήδεσι δαμεῖσα. 704 οἷα χρὴ πάθη τλῆναι πρὸς Ἥρας. 900 δυσπλάνοις Ἥρας ἀλατείαις. [Sept. 153 ὦ πότνια ἥρη (altero η in α mutato) versu defecto, quem sic redintegravi ὦ πότνι' ἴθι Διὸς παραγενοῦ δάμαρ, deleto glossemate Ἥρα.] Eum. 214 Ἥρας τελείας καὶ Διὸς πιστώματα. Suppl. 291 κληδοῦχον Ἥρας — Ἰώ. 296 κἄκρυπτά γ' Ἥρας ταῦτα τἀμπαλάγματα. 564 ὀδύναις κεντροδαλήτισι — Ἥρας. 586 Ἥρας νόσους ἐπιβούλους. 1036 δύναται γὰρ Διὸς ἄγχιστα σὺν Ἥρᾳ. Fr. 329 Ἥρα τελεία, Ζηνὸς εὐναία δάμαρ. 52 λοιβὰς Διὸς μὲν πρῶτον ὡραίου γάμου Ἥρας τε.

Ἡρακλεῖδαι inscripta fuit Aeschyli fabula (fr. 69—71).

ἠριγένεια. Hesychius s. h. v. καὶ παρ' Αἰσχύλῳ (fr. 357) ἡ λέαινα ἠριγένεια ἢ ἡ ἐν τῷ ἀέρι τίκτουσα, ἢ ἡ ἐν τῷ ἔαρι.

ἥρως *heros*. Ag. 516 ἥρως τε τοὺς πέμψαντας. Fr. 52 τὴν δευτέραν δὲ κρᾶσιν ἥρωσιν νέμω.

Ἡσιόνη *Hesione*, *Oceani* filia, Promethei uxor. Pr. 560 ὅτε τὰν ὁμοπάτριον ἄγαγες Ἡσιόναν.

[ἡσσάομαι *inferior sum*. Sept. 522 πρὸς τῶν κρατούντων δ' ἐσμέν, οἱ δ' ἡσσωμένων.]

ἥσσων *minor*. Fr. 178 οὐδὲν ἥσσονας — ὑβρισμούς. ‖ *inferior*. Suppl. 203 θρασυστομεῖν γὰρ οὐ πρέπει τοὺς ἥσσονας. 489 τοῖς ἥσσοσιν γὰρ πᾶς τις εὐνοίας φέρει. ‖ ἧσσον *minus*. Ag. 1391 χαίρουσαν οὐδὲν ἧσσον ἢ διοσδότῳ γάνει σπορητός. Ch. 181 οὐχ ἧσσον εὐδάκρυτά μοι λέγεις τάδε. 708 οὐδ' ἧσσον ἂν γένοιο δώμασιν φίλος.

ἡσυχάζω *quietem ago*. Pr. 327 σὺ δ' ἡσύχαζε. 344 ἀλλ' ἡσύχαζε.

ἥσυχος *quietus*. Ch. 452 ἡσύχῳ φρενῶν βάσει. Suppl. 199 ὄμματος παρ' ἡσύχου. Eum. 223 τὰ δ' ἐμφανῶς πράσσουσαν ἡσυχαιτέραν.

ἡσύχως *quiete*. Suppl. 724 ἡσύχως — καὶ σεσωφρονισμένως. [V. annot. ad Sept. 194.]

ἦτορ *cor*, *animus*. Pers. 991 βοᾷ μελέων ἔντοσθεν ἦτορ.

Ἥφαιστος *Vulcanus*. Ἥφαιστος Pr. 367. Ag. 281. Ἡφαίστου Pr. 619. Eum. 13. Ἥφαιστε Pr. 3.

Ἡφαιστοτυκής *ab Vulcano fabricatus*. Fr. 66 (apud Athen. p. 469 f) Ἡφαιστοτυκὲς δέπας. Sic Hermannus correxit quod est in codice ἡφαιστοτευχές, ab Schweighaeusero in Ἡφαιστοτυχές mutatum.

ἠχέτης (ἀχέτας Dorice) *sonum edens*. Pr. 575 ὑπὸ δὲ κηρόπλαστος ὀτοβεῖ δόναξ ἀχέτας.

ἠχέω (ἀχέω Dorice). V. ἰαχέω.

ἠχή (ἀχά Dorice) *sonus*. Sept. 915 δόμων μάλ' ἀχὰν ἐς οὖς (sic Elmsleius pro ἀχάεσσα τοὺς) προπέμπει δαικτὴρ γόος. Pers. 388 ἠχῇ (i. e. *sonore*) κέλαδος Ἑλλήνων πάρα μολπηδὸν ηὐφήμησεν.

ἠχώ (ἀχώ Dorice) *echo*. Pr. 115 τίς ἀχώ, τίς ὀδμὰ προσέπτα μ' ἀφεγγής; 133 κτύπου γὰρ ἀχὼ χάλυβος διῆξεν ἄντρων μυχόν. 1082 βρυχία δ' ἠχὼ παραμυκᾶται βροντῆς. Pers. 391 ἀντηλάλαξε νησιώτιδος πέτρας ἠχώ.

Θ.

θᾱκέω *sedeo*. Pr. 313 τάχ' ἄν σου καὶ μακρὰν ἀνωτέρω θακῶν κλύοι Ζεύς. 389 τῷ νέον θακοῦντι παγκρατεῖς ἕδρας.

θᾶκος *sedes*. Pr. 280 κραιπνόσυτον θᾶκον προλιποῦσα. 831 ἵνα μαντεῖα θᾶκός (sic Brunckius pro θῶκος, quod Ionicae et Doricae dialecti est, non Atticae) τ' ἐστὶ Θεσπρωτοῦ Διός. Ag. 519 φίλαι στέγαι σεμνοί τε θᾶκοι.

θαλαμηπόλος *cubicularia, ancilla*. Sept. 359 πικρὸν δ' ὄμμα θαλαμηπόλων.

Θαλαμοποιοί inscripta fuit Aeschyli fabula (fr. 72).

θάλαμος *thalamus*, *cubiculum*, *habitaculum*. Eum. 1004 προτέραν δ' ἐμὲ χρὴ στείχειν θαλάμους ἀποδείξουσαν. Pers. 624 σύ τε πέμπε χοὰς θαλάμους ὑπὸ γῆς.

θάλασσα *mare*. Pers. 77 πεζονόμοις ἔκ τε θαλάσσας. 108 εὐρυπόροιο θαλάσσας πολιαινομένας. (utrobique θαλάσσης M). 419 θάλασσα δ' οὐκέτ' ἦν ἰδεῖν. 707 πολλὰ μὲν γὰρ ἐκ θαλάσσης, πολλὰ δ' ἐκ χέρσου κακὰ γίγνεται θνητοῖς. Ag. 576 ὑπὲρ θαλάσσης καὶ χθονὸς ποτωμένοις. 651 ξυνώμοσαν γάρ, ὄντες ἔχθιστοι τὸ πρίν, πῦρ καὶ θάλασσα. 958 ἔστιν θάλασσα — τρέφουσα πολλῆς πορφύρας ἰσάργυρον κηκῖδα. Eum. 240 χέρσον καὶ θάλασσαν ἐκπερῶν. Suppl. 259 ὑγρᾶς θαλάσσης. Fr. 192 ἐρυθρᾶς ἱερὸν χεῦμα θαλάσσης. ‖ Improprie de fluctibus malorum Sept. 758 κακῶν δ' ὥσπερ θάλασσα κῦμ' ἄγει. De fluctibus advenientis exercitus Pers. 90 ἄμαχον κῦμα θαλάσσης.

θαλάσσιος *marinus*. Pr. 364 στενωποῦ πλησίον θαλασσίου. 924 θαλασσίαν τε γῆς τινάκτειραν νόσον τρίαιναν. Pers. 558 πεζοῖς τε καὶ θαλασσίοις. Sic correxi pro πεζούς τε καὶ θαλασσίους.

θαλασσόπλαγκτος *per mare vagans*. Pr. 467 θαλασσόπλαγκτα — ναυτίλων ὀχήματα.

θαλασσόπληκτος *maris fluctibus percussus*. Pers. 307 θαλασσόπληκτον νῆσον Αἴαντος. In θαλασσόπλακτον et θαλασσόπλαγκτον mutatum in apographis. Σαλαμὶς ἁλίπλακτος ap. Soph. Ai. 597.

θαλερός *virescere faciens*, *vivificus*. Sept. 707 δαίμων — ἴσως ἂν ἔλθοι θαλερωτέρῳ πνεύματι, ubi pr. M, ut videtur, θαλρωτέρῳ, ab correctore θαλερωτέρῳ, ubi θελεμωτέρῳ coniecit Coningtonus. V. θελεμός.

θαλλός *ramus virens*. Ch. 1035 ξὺν τῷδε θαλλῷ καὶ στέφει.

θάλλω *vireo*, *pullulo*. Pers. 616 τῆς τ' αἰὲν ἐν φύλλοισι θαλλούσης ἴσον (sic correxi pro βίον) ξανθῆς ἐλαίας καρπός. Suppl. 857 ἔνθεν ἀεξόμενον ζώφυτον αἷμα βροτοῖσι θάλλει. 105 πυθμὴν δι' ἀμὸν γάμον τεθαλώς (sic Bothius pro τὸ θάλος). Quae Dorica forma est pro τεθηλώς, quo Homerus aliique utuntur, quorum exempla collegit Veitchius p. 269 ed. tert.

θάλπος *calor*, *aestus*. Ag. 565 χειμῶνα δ' εἰ λέγοι τις — ἢ θάλπος. 969 θάλπος μὲν ἐν χειμῶνι σημαίνεις μολόν. Suppl. 747 ἐν μεσημβρίας θάλπει βραχίον' εὖ κατερρινημένους. Sept. 431 κεραυνίους βολὰς μεσημβρινοῖσι θάλπεσιν προσήκασεν. 446 κεραυνὸν οὐδὲν ἐξῃκασμένον μεσημβρινοῖσι θάλπεσιν τοῖς ἡλίου.

θάλπω *calefacio*, *incendo*. Pr. 590 ἢ Διὸς θάλπει κέαρ ἔρωτι. 878 ὑπό μ' αὖ σφάκελος καὶ φρενοπληγεῖς μανίαι θάλπουσι, quod per tmesin dictum est pro ὑποθάλπουσι. 650 Ζεὺς γὰρ ἱμέρου βέλει πρὸς σοῦ τέθαλπται.

θαμβέω *stupeo*. Suppl. 570 τέρας δ' ἐθάμβουν.

θάμνος *fruticetum*. Ag. 1316 οὔτοι δυσοίζω, θάμνον ὡς ὄρνις, φόβῳ.

θανάσιμος *ad mortem pertinens*, *cum morte coniunctus*. Ag. 1019 θανάσιμον — ἀνδρὸς μέλαν αἷμα. 1276 θανασίμους τύχας. 1445 θανάσιμον γόον.

θανατηφόρος *mortifer*. Ch. 368 θανατηφόρον αἶσαν.

Θάνατος *Mors* deus. Fr. 156 μόνος θεῶν γὰρ Θάνατος οὐ δώρων ἐρᾷ. 244 ὦ Θάνατε Παιάν, μή μ' ἀτιμάσῃς μολεῖν. ‖ θάνατος *mors*. Sept. [601 in versu aliunde adscripto ἄτης ἄρουρα θάνατον ἐκκαρπίζεται.] 681 ἀνδροῖν δ' ὁμαίμοιν θάνατος ὧδ' αὐτοκτόνος. 906 θανάτου τέλος. 1009 θάνατον εἵλετ' ἐν πόλει. Pers. 917 εἴθ' ὄφελε, Ζεῦ, κἀμὲ — θανάτου κατὰ μοῖρα καλύψαι. Ag. 1462 μηδὲν θανάτου μοῖραν ἐπεύχου. 1493 1517 ἀσεβεῖ θανάτῳ βίον ἐκπνέων. |1521 οὔτ' ἀνελεύθε-

ρον οἶμαι θάνατον τῷδε γενέσθαι.] 1529 ξιφοδηλήτῳ θανάτῳ τίσας ἅπερ ἔρξεν. Ch. 978 ξυνώμοσαν μὲν θάνατον ἀθλίῳ πατρί. 1008 στυγερῷ θανάτῳ διεπράχθης. Suppl. 124 ὁπόθι θάνατος ἀπῇ (ἐπῇ Weilius). Fr. 86 βίου πονηροῦ θάνατος εὐκλεέστερος. 301 ὡς οὐ δικαίως θάνατον ἔχθουσιν βροτοί. 395 ζόης πονηρᾶς θάνατος αἱρετώτερος. Numero plurali Sept. 877 μελέους θανάτους ηὕροντο. 894 ἀντιφόνων θανάτων ἀραί. Ag. 1340 ἄλλων ποινὰς θανάτων. 1573 θανάτοις αὐθένταισι. Ch. 53 δεσποτῶν θανάτοισι.

θανατοφόρος *mortifer*. Ag. 1176 πάθη γοερὰ θανατοφόρα.

θανατόω *interficio*. Pr. 1053 πάντως ἐμέ γ' οὐ θανατώσει.

θάπτω *humo*. Sept. 1008 Ἐτεοκλέα — θάπτειν ἔδοξε γῆς φίλαις κατασκαφαῖς. 1028 ἐγώ σφε θάψω κἀνὰ κίνδυνον βαλῶ θάψασ' ἀδελφὸν τὸν ἐμόν. 1052 ἐγὼ δὲ θάψω τόνδε. Ag. 1541 τίς ὁ θάψων νιν; Ch. 433 ἔτλας ἀνοίμωκτον ἄνδρα θάψαι. 440 ὧδε θάπτει. 685 εἴτ' οὖν κομίζειν δόξα νικήσει φίλων, εἴτ' οὖν — θάπτειν. 366 παρὰ Σκαμάνδρου πόρον τεθάφθαι (sic Ahrensius pro τέθαψαι). Sept. 1021 τόνδ' ὑπ' οἰωνῶν δοκεῖ ταφέντ' ἀτίμως τοὐπιτίμιον λαβεῖν.

θαρσαλέος *fiducia praeditus, audax*. Pr. 536 ἁδύ τι θαρσαλέαις τὸν μακρὸν τείνειν βίον ἐλπίσι.

θαρσέω *fiducia praeditus sum, bono animo sum*. Pr. 916 πρὸς ταῦτα νῦν θαρσῶν καθήσθω. Sept. 792 θαρσεῖτε, παῖδες μητέρων τεθραμμέναι. Ag. 1671 κόμπασον θαρσῶν. Ch. 666 εἶπε θαρσήσας ἀνὴρ πρὸς ἄνδρα. 827 σὺ δὲ θαρσῶν. Suppl. 600 θαρσεῖτε, παῖδες. 732 740 θάρσει. 767 οὐδ' ἐν ἀγκυρουχίαις θαρσοῦσι ναῶν ποιμένες παραυτίκα. 906 θαρσεῖτε. 1015 ἐμῆς δ' ὀπώρας οὕνεκ' εὖ θάρσει. Fr. 310 θάρσει, πόνου γὰρ ἄκρον οὐκ ἔχει χρόνος.

θάρσος *fiducia, animi praesentia* s. *fortitudo*. Sept. 1041 θάρσει παρέσται μηχανὴ δραστήριος. Ag. 982 θάρσος εὐπιθὲς ἵζει φρενὸς φίλον θρόνον. Ch. 91 τῶνδ' οὐ πάρεστι θάρσος. ‖ *id quod animum addit*. Sept. 184 ἦ ταῦτ' ἄριστα καὶ πόλει σωτήρια, στρατῷ τε θάρσος τῷδε πυργηρουμένῳ; Sept. 270 ὀλολυγμὸν ἱρὸν εὐμενῆ παιάνισον, — θάρσος φίλοις.

θαρσύνω *fiduciam affero, animum addo*. Pers. 216 οὔ σε βουλόμεσθα, μῆτερ, οὔτ' ἄγαν φοβεῖν λόγοις οὔτε θαρσύνειν.

Θάρυβις n. pr. Persicum Pers. 51 323 970.

θάτερον. V. ἕτερος.

θαῦμα *admiratio*. Eum. 407 ταρβῶ μὲν οὐδὲν, θαῦμα δ' ὄμμασιν πάρα. ‖ *miraculum*. Suppl. 518 οὔτοι τι θαῦμα δυσφορεῖν φόβῳ φρενός. Ag. 1166 θαύματ' ἐμοὶ κλύειν. Sic Triclinius pro θραύματ'.

θαυμάζω (cum futuro medio θαυμάσομαι) *admiror*. Sept. 772 τίν' ἀνδρῶν γὰρ τοσόνδ' ἐθαύμασαν θεοί; Ag. 879 μηδὲ θαυμάσῃς τόδε. 1399 θαυμάζομέν σου γλῶσσαν ὡς θρασύστομος. 1199 θαυμάζω δέ σου (recte σε Auratus) πόντου πέραν τραφεῖσαν ἀλλόθρουν πόλιν κυρεῖν λέγουσαν. Pr. 476 τὰ λοιπά μου κλύουσα θαυμάσει (θαυμάσῃ M) πλέον. Passivum *admirationi sum*. Sept. 703 χάρις δ' ἀφ' ἡμῶν ὀλομένων θαυμάζεται.

θαυμαστός *admirabilis*. Pers. 212 πράξας μὲν εὖ θαυμαστὸς ἂν γένοιτ' ἀνήρ. Eum. 46 θαυμαστὸς λόχος εὕδει γυναικῶν. Suppl. 240 τοῦτο θαυμαστὸν πέλει.

θέα *spectaculum*. Pr. 241 ὧδ' ἐρρύθμισμαι, Ζηνὶ δυσκλεὴς θέα.

θεά *dea*. Sept. 86 ἰὼ ἰὼ θεοὶ θεαί τε. Sept. 91 τίς ἄρ' ἐπαρκέσει θεῶν ἢ θεᾶν; Pers. 348 θεοὶ πόλιν σώζουσι Παλλάδος θεᾶς Eum. 115 ὦ κατὰ χθονὸς θεαί. 224 δίκας δὲ Παλλὰς τῶνδ' ἐποπτεύσει θεά. 242 πρόσειμι δῶμα καὶ βρέτας τὸ σόν, θεά. 259 περὶ βρέτει πλεχθεὶς θεᾶς ἀμβρότου. 411 οὔτ' ἐν θεαῖσι πρὸς θεῶν ὁρωμένας. 671 καὶ τόνδ' ἐπικτήσαιο σύμμαχον, θεά. 728 παρηπάτησας ἀρχαίας θεάς. 825 μηδ' ὑπερθύμως ἄγαν θεαὶ βροτῶν στήσητε δύσκηλον χθόνα. 961 θεαί τ' ὦ (sic Hermannus pro θεαὶ τῶν) Μοῖραι ματροκασιγνῆται. [Suppl. 695 θεαί τ' corruptum ex θείατ'. V. τίθημι.]

θέαμα *spectaculum*. Pr. 69 ὁρᾷς θέαμα δυσθέατον ὄμμασιν. 304 δέρκου θέαμα, τόνδε τὸν Διὸς φίλον.

θεήλατος *a deo actus*. Ag. 1297 θεηλάτου βοὸς δίκην.

θείνω *ferio*. Pr. 56 ῥαιστῆρι θεῖνε. 76 ἐρρωμένως νῦν θεῖνε διατόρους πέδας. Pers. 418 Ἑλληνικαί τε νῆες οὐκ ἀφρασμόνως κύκλῳ πέριξ ἔθεινον. 965 στυφέλου θείνοντας ἐπ' ἀκτᾶς. Improprie Sept. 382 θείνει (sic ex apogr. pro θένει) δ' ὀνείδει μάντιν Οἰκλείδην σοφόν. ‖ Passivum θείνομαι *interficior*. Sept. 959 ἐν πύλαις, ἐν αἷς ἐθείνοντο. Pers. 303 Ἀρτεμβάρης — στύφλους παρ' ἀκτὰς θείνεται Σιληνιῶν. Ch. 387 ὀλολυγμὸν ἀνδρὸς θεινομένου.

θεῖος *divinus*. Pr. 682 μάστιγι θείᾳ. Pers. 75 ἐπὶ πᾶσαν χθόνα ποιμανόριον θεῖον ἐλαύνει. Ag. 478 θεῖον ψύθος. 1084 μένει τὸ θεῖον δουλίᾳ περ ἐν φρενί. 1548 ἐπ' ἀνδρὶ θείῳ. Ch. 867 θεῖος Ὀρέστης. 958 κρατεῖταί πως τὸ θεῖον. Suppl. 577 θείαις ἐπιπνοίαις. Fr. 281, 5 τὸ Φοίβου θεῖον ἀψευδὲς στόμα.

θέλγω *mulceo, delinio, pellicio*. Pr. 174 καί μ' οὔτι μελιγλώσσοις πειθοῦς ἐπαοιδαῖσιν θέλξει. 865 μίαν δὲ παίδων ἵμερος θέλξει τὸ μὴ κτεῖναι σύνευνον. Eum. 900 θέλξειν μ' ἔοικας. Suppl. 571 τίς ἦν ὁ θέλξας πολύπλαγκτον — Ἰώ; 1056 σὺ δὲ θέλγοις ἂν ἄθελκτον. Ch. 420 πάρεστι σαίνειν, τὰ δ' οὔτι θέλγεται.

θελεμός *spontaneus*. θελεμός ut formam primitivam vocabuli ἐθελημός ponit Etym. M. p. 103, 48. Arcad. p. 61, 3 τὸ δὲ θελεμός ἀπὸ τοῦ θελημός ὀξύνεται. ἐθελημός *voluntarii* significatione dixerunt Hesiodus Op. 118 de hominum genere ante Prometheum οἱ δ' ἐθελημοὶ ἥσυχοι ἔργα νέμοντο aliique in Thes. indicati vol. 3 p. 171 eademque significatione Aeschylus Suppl. 1028 ποταμοὺς δ', οἳ διὰ χώρας θελεμὸν πῶμα χέουσιν. Sed Sept. 707 si recte coniecit Conington θελεμωτέρῳ πνεύματι pro θαλερωτέρῳ πνεύματι, *quieti* potius significatione dictum est. Apud Hesychium est θέλεμον: οἰκτρὸν, ἥσυχον. et θελέμως: ἡσύχως, οἰκτρῶς, ubi mirae sunt interpretationes οἰκτρόν et οἰκτρῶς. Ceterum in versu Aeschyli idem quod Conington coniecit Hauptius in Indice Lection. Berol. aestiv. a. 1865.

θέλεος *volens*. Suppl. 863 βάσει τάχα θέλεος ἀθέλεος. Neutrum adiectivum aliunde cognitum.

θελκτήριον *incantamentum*, *oblectamentum*. Eum. 886 γλώσσης ἐμῆς μείλιγμα καὶ θελκτήριον. ‖ *remedium*, *lenimentum*. Ch. 670 πόνων θελκτήρια (θελκτηρία Wakef.) στρωμνή —.

θελκτήριος *deliniendi* s. *demulcendi vim habens*. Eum. 81 θελκτηρίους μύθους ἔχοντες

Suppl. 447 γένοιτο μύθου μῦθος ἂν θελκτήριος. 1004 ὄμματος θελκτήριον τόξευμα.

θέλκτωρ *incantutrix.* Suppl. 1040 οὐδὲν ἄπαρνον τελέθει θέλκτορι (sic Bothius pro θεακτορι, quod sine accentu est in M) Πειθοῖ.

θέλω. [Duplex huius verbi forma est, ἐθέλω, de qua suo loco diximus, et θέλω, qua in senariis potissimum utuntur tragici, quibus altera ἐθέλω plerumque incommoda est. Aoristi imperativus, optativus, coniunctivus et participium θέλησον, θελήσαιμι θελήσω et θελήσας ab forma disyllaba sumuntur, indicativus vero non est ἐθέλησα, sed ἠθέλησα ab forma altera ἐθέλω. De discrimine inter θέλω et βούλομαι dictum s. h. v. Differunt enim eo quod verbo θέλω proclivitatis, verbo βούλομαι consilii et deliberationis significatio inest, etsi hoc discrimen saepe negligitur nec raro alterum pro altero ponitur, de quo dixi in Lexico Sophocleo p. 219.] Pr. 118 τί δὴ θέλων; 201 οἱ μὲν θέλοντες ἐκβαλεῖν ἕδρας Κρόνον. 308 παραινέσαι γέ σοι θέλω τὰ λῷστα. 321 ἄλλα προσλαβεῖν θέλεις. 343 εἴ τι καὶ πονεῖν θέλεις. 346 θέλοιμ' ἂν ὡς πλείστοισι πημονὰς τυχεῖν. 504 μὴ μάτην φλύσαι θέλων. 651 συναίρεσθαι Κύπριν θέλει. 667 κεἰ μὴ θέλοι. 783 τὴν δ' ἐμοὶ χάριν θέσθαι θέλησον. 818 σχολὴ δὲ πλείων ἢ θέλω πάρεστί μοι. 940 ὅπως θέλει. 1028 πρὶν ἂν — θελήσῃ εἰς ἀναύγητον μολεῖν Ἅιδην. Sept. 354 ξύννομον θέλων ἔχειν. 427 θεοῦ τε γὰρ θέλοντος ἐκπέρσειν πόλιν καὶ μὴ θέλοντός φησιν. 462 θελούσας πρὸς πύλαις πεπτωκέναι. 467 ἐκπέρσαι θέλων. 505 θέλων ἐξιστορῆσαι μοῖραν. 562 θεῶν θελόντων ἂν δ' ἀληθεύσαιμ' ἐγώ. 614 Διὸς θέλοντος. 1027 ἢν μή τις ἄλλος τόνδε συνθάπτειν θέλῃ. 1033 θέλουσ' ἄκοντι κοινώνει κακῶν. Pers. 178 πέρσαι θέλων. 174 ὧν ἂν δύναμις ἡγεῖσθαι θέλῃ. 204 θέλουσα θῦσαι πέλανον. 230 κεῖνο δ' ἐκμαθεῖν θέλω. 522 θεοῖς μὲν πρῶτον εὔξασθαι θέλω. Ag. 242 προσεννέπειν θέλουσα. 256 ὡς θέλει τόδ' ἄγχιστον Ἀπίας γαίας μονόφρουρον ἕρκος. 319 λόγους δ' ἀκοῦσαι κἀποθαυμάσαι διηνεκῶς θέλοιμ' ἄν. 678 μηχαναῖς Διὸς οὔπω θέλοντος ἐξαναλῶσαι γένος. 1322 ἅπαξ ἔτ' εἰπεῖν ῥῆσιν ἢ θρῆνον θέλω. 1403 σὺ δ' αἰνεῖν εἴτε με ψέγειν θέλεις. Ch. 175 τοῦτο γὰρ θέλω μαθεῖν. 222 ἀλλ' ἐν κακοῖσι τοῖς ἐμοῖς γελᾶν θέλεις. 499 εἴπερ κρατηθείς γ' ἀντινικῆσαι θέλεις. 851 ἰδεῖν ἐλέγξαι τ' αὖ θέλω τὸν ἄγγελον. 904 πρὸς αὐτὸν τόνδε σε σφάξαι θέλω. 908 νῦν δὲ γηράναι θέλω. Eum. 5 θελούσης οὐδὲ πρὸς βίαν τινός. 260 ὑπόδικος θέλει γενέσθαι χερῶν. 429 ἀλλ' ὅρκον οὐ δέξαιτ' ἄν, εἰ δοῦναι θέλοιν. Sic correxi quod est in M οὐ δοῦναι θέλει: v. Praef. ed. Lips. quintae p. LXXIII. 430 κλύειν δίκαιος (sic correxi pro δικαίως) μᾶλλον ἢ πρᾶξαι θέλεις. 887 εἰ δὲ μὴ θέλεις μένειν. Suppl. 208 θέλοιμ' ἂν ἤδη καὶ πέλας θρόνους ἔχειν. 210 κείνου θέλοντος εὖ τελευτήσει τάδε. 389 τίς ἂν τοῖσδ' ἀντιωθῆναι θέλοι; 453 θέλω δ' ἄϊδρις μᾶλλον ἢ σοφὸς κακῶν εἶναι. 728 ἄγειν θέλοντες. 787 θέλοιμι δ' ἂν μορσίμου βρόχου τυχεῖν. Fr. 257 τοὺς θανόντας εἰ θέλεις εὐεργετεῖν. 160 ὅταν κακῶσαι δῶμα παμπήδην θέλῃ. ‖ θέλων *lubens, paratus, propitius.* Ag. 664 τύχη δὲ σωτὴρ ναῦν θέλουσ' ἐφέζετο, ubi Casaubonus recte, ut videtur, ναυστολοῦσ' restituit. Ch. 19 γενοῦ δὲ σύμμαχος θέλων ἐμοί. 522 θέλοντι δ', εἴπερ οἶσθ', ἐμοὶ φράσον τάδε. 765 θέλων δὲ τῶνδε πεύσεται λόγων. 793 παλίμποινα θέλων ἀμείψει. 814 Ξυλλάβοι δ' ἐνδίκως παῖς ὁ Μαίας — θέλων.

Suppl. 144 θέλουσα δ' αὖ θέλουσαν ἁγνά μ' ἐπιδέτω Διὸς κόρα.

θεμερῶπις *verecunda.* Pr. 134 ἐκ δ' ἔπληξέ μου τὰν θεμερῶπιν αἰδῶ, ubi in M a m. rec. littera ρ est adscripta, qua θερμερῶπιν significatur, quod est in apographis multis et legisse videtur schol. qui per θερμὴν explicat. Apud Hesychium est θεμερῶπις: ἐρασμία ἀγχόνη, quod ἐρασμία αἰσχύνη scribendum videbatur Sopingio, ut glossa sumta sit ex versu Aeschyli. Idem vero Hesychius θέμερον exp. per σεμνόν et θεμέρη per σεμνή.

Θέμις *Themis* dea. Pr. 18 de Prometheo τῆς ὀρθοβούλου Θέμιδος αἰπυμῆτα παῖ. 209 Θέμις καὶ Γαῖα, πολλῶν ὀνομάτων μορφὴ μία. 874 χρησμόν — μήτηρ ἐμοὶ διῆλθε Τιτανὶς Θέμις. Eum. 2 Θέμιν, ἣ δὴ τὸ μητρὸς δευτέρα τόδ' ἕζετο μαντεῖον. Suppl. 360 ἱκεσία Θέμις Διὸς κλαρίου.

θέμις *ius, lex.* Ag. 1431 καὶ τήνδ' ἀκούεις ὁρκίων ἐμῶν θέμιν. Eum. 414 ἀποστατεῖ θέμις. Suppl. 38 λέκτρων, ὧν θέμις εἴργει. Fr. 283 τῷ περῶντι τὴν θέμιν. ‖ De poena Suppl. 436 μένει δορὶ τίνειν ὁμοίαν θέμιν. ‖ *fas.* Ag. 98 ὅ τι καὶ δυνατὸν καὶ θέμις αἰνεῖν. Ag. 217 παρθενίου θ' αἵματος — ἐπιθυμεῖν θέμις. Ch. 641 τὸ μὴ θέμις. Eum. 471 οὐδὲ μὴν ἐμοὶ θέμις φόνου διαιρεῖν ὀξυμηνίτους δίκας. Suppl. 335 πότερα κατ' ἔχθραν ἢ τὸ μὴ θέμις λέγεις; ubi θέμις tanquam indeclinabile dictum est pro θέμιν: v. Lexicon Soph. p. 219.

Θεμίσκυρα (ῡ) *Themiscyra,* urbs Cappadociae. Pr. 724 αἳ Θεμίσκυράν ποτε κατοικιοῦσιν.

θεμιστός *legitimus.* Sept. 694 αἵματος οὐ θεμιστοῦ.

θεμιστῶς *legitime.* Ch. 645 Διὸς σέβας παρεκβάντες οὐ θεμιστῶς, ubi ἀθεμίστως M a pr. m. sed α in ου mutato a m. pr. Contrario modo erratum Pr. 184, ubi in M οὐ παράμυθον scriptum, sed recte in ἀπαράμυθον mutatum in apographis.

[θένει Sept. 382 vitiose pro θείνει, quod v.]

θεοβλαβέω *in deos pecco.* Pers. 831 λῆξαι θεοβλαβοῦνθ' ὑπερκόπῳ θράσει.

θεόθεν *divinitus, deorum missu s. auxilio.* Sept. 324 ὑπ' ἀνδρὸς Ἀχαιοῦ θεόθεν περθομέναν. Pers. 101 θεόθεν γὰρ κατὰ μοῖρ' ἐκράτησεν. Ag. 105 ἔτι γὰρ θεόθεν καταπνείει πειθὼ μολπᾶν ἀλκᾶ σύμφυτος αἰών. 131 μή τις ἄγα θεόθεν κνεφάσῃ προτυπὲν στόμιον μέγα Τροίας. Ch. 38 κριταί τε τῶνδ' ὀνειράτων θεόθεν ἔλακον ὑπέγγυοι. 941 θεόθεν εὖ φραδαῖσιν ὡρμημένος.

Θέοινος cognomen Bacchi (ὡς θεὸς οἴνου εὑρετής, ut ait Tzetza ad Lycophr. 1247). Fr. 350 πάτερ Θέοινε, Μαινάδων ζευκτήριε. Ex Aeschylo et Istro ἐν ά Συναγωγῶν anuotavit etiam Harpocratio s. v. Θεοίνια.

θεοκλυτέω *deos invoco.* Pers. 500 ἐπεὶ δὲ πολλὰ θεοκλυτῶν ἐπαύσατο στρατός. Alterum apud tragicos exemplum est Eur. Med. 207 θεοκλυτεῖ δ' ἄδικα παθοῦσα. Aliorum exempla v. in Thes. vol. 4 p. 396.

θεόκλυτος *deos implorans.* Sept. 142 λιταῖσί σε θεοκλύτοις ἀπύουσαι πελαζόμεσθα.

θεόκραντος *a diis effectus.* Ag. 1487 τί τῶνδ' οὐ θεόκραντόν ἐστιν;

θεομανής *cui a diis furor immissus est, divino furore percitus.* Sept. 653 ὦ θεομανές τε καὶ θεῶν μέγα στύγος.

θεομήστωρ *par diis consiliarius, divina consilia dans* (apud Homer. Il. 7, 360 et alibi θεόφιν μήστωρ ἀτάλαντος). Pers. 654 θεομήστωρ δ' ἐκικλήσκετο Πέρσαις, θεομήστωρ δ' ἔσκεν. Non

legitur alibi, nisi quod Θεομήστωρ nomen est Sicyoniorum regis apud Herodotum 8, 85.

θεομῦσής *piaculo in deos commisso pollutus.* Eum. 40 ἄνδρα θεομυσῆ.

θεοπρόπος *legatus ad oraculum consulendum missus.* Pr. 659 ὁ δ' ἔς τε Πυθὼ κἀπὶ Δωδώνης πυκνοὺς θεοπρόπους ἴαλλεν.

θεόπτυστος *diis abominatus* s. *exosus.* Sept. 604 ἀνδρῶν σὺν θεοπτύστῳ γένει.

θέορτος *a diis impulsus* s. *profectus.* Pr. 765 (γάμον) θέορτον ἢ βρότειον; Similiter ib. 116 τίς ἀχώ, τίς ὀδμὰ — θεόσυτος ἢ βρότειος;

θεός *deus.* Pr. 29 θεὸς θεῶν γὰρ οὐχ ὑποπτήσσων χόλον. 92 οἷα πρὸς θεῶν πάσχω θεός. 156 μήτε θεῶν (θεὸς M) μήτε τις ἀνδρῶν. 737 θνητῇ θεὸς χρῄζων μιγῆναι. Pers. 711 βίοτον εὐαίωνα Πέρσαις ὡς θεὸς διήγαγες. Ag. 663 θεός τις, οὐκ ἄνθρωπος. 1203 μῶν καὶ θεός περ ἱμέρῳ πεπληγμένος; Eum. 153 τὸν μητραλοίαν δ' ἐξέκλεψας ὢν θεός. Ch. 60 τὸ δ' εὐτυχεῖν, τόδ' ἐν βροτοῖς θεός τε καὶ θεοῦ πλέον. ‖ Genitivus Sept. 529 αἰχμὴν ἣν ἔχει, μᾶλλον θεοῦ σέβειν πεποιθώς. Pers. 157 θεοῦ (Darii) μὲν εὐνάτειρα Περσῶν, θεοῦ δὲ καὶ μήτηρ ἔφυς. 746 Βόσπορον ῥόον θεοῦ. Eum. 282 πρὸς ἑστίᾳ θεοῦ Φοίβου. Suppl. 218 σημεῖον θεοῦ. ‖ Accusativus Pr. 14 συγγενῆ θεόν. 37 τί τὸν θεοῖς ἔχθιστον οὐ στυγεῖς θεόν; 119 ὁρᾶτε δεσμώτην με δύσποτμον θεόν. 427 εἰσιδόμαν θεὸν Ἄτλαν. Pers. 644 de Dario quem post mortem dei instar colebant Persae Περσᾶν Σουσιγενῆ θεόν. Ag. 925 λέγω κατ' ἄνδρα, μὴ θεόν, σέβειν ἐμέ. 1078 τὸν θεὸν καλεῖ. Eum. 270 ἤ θεὸν ἢ ξένον τιν' ἀσεβῶν. Suppl. 414 τὸν πανώλεθρον θεόν. Sine articulo ponitur etiam ubi de certo quodam deo sermo est. Sic Eum. 25 ἐξ οὗτε Βάκχαις ἐστρατήγησεν θεός. Eum. 33 ὡς ἂν ἡγῆται θεός. Pers. 502 πρὶν σκεδασθῆναι θεοῦ ἀκτῖνας. Ch. 300 θεοῦ τ' ἐφετμαί.

θεός numero singulari de numine dicitur res humanas moderante. Pr. 859 φθόνον δὲ σωμάτων ἕξει θεός. Sept. 4 εἰ μὲν γὰρ εὖ πράξαιμεν, αἰτία θεοῦ. 21 εὖ ῥέπει θεός. 35 εὖ τελεῖ θεός. 157 ποῖ δὲ τέλος προβὰς ἐπάξει θεός; 549 ἃ μὴ κραίνοι θεός. 689 τὸ πρᾶγμα κάρτ' ἐπισπέρχει θεός. 716 νίκην γε μέντοι καὶ κακὴν τιμᾷ θεός. Pers. 454 θεὸς ναῶν ἔδωκε κῦδος Ἕλλησιν μάχης. 495 θεὸς χειμῶν' ἄωρον ὦρσε. 514 ἃ Πέρσαις ἐγκατέσκηψεν θεός. 772 θεὸς γὰρ οὐκ ἤχθηρεν. Ag. 952 τὸν κρατοῦντα μαλθακῶς θεὸς πρόσωθεν εὐμενῶς προσδέρκεται. 1424 ἐὰν δὲ τοὔμπαλιν κραίνῃ θεός. Ch. 340 ἀλλ' ἔτ' ἂν ἐκ τῶνδε θεὸς χρῄζων θείη κελάδους εὐφθογγοτέρους. 1064 καί σ' ἐποπτεύων πρόφρων θεὸς φυλάσσοι. Eum. 529 παντὶ μέσῳ τὸ κράτος θεὸς ὤπασεν. 661 οἷσι μὴ βλάψῃ θεός. Fr. 287 ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεός. 291 φιλεῖ δὲ τῷ κάμνοντι συσπεύδειν θεός. 160 θεὸς μὲν αἰτίαν φύει βροτοῖς. 287 ψευδῶν δὲ καιρὸν ἔσθ' ὅπου τιμᾷ θεός. ‖ Genitivus Sept. 226 θεοῦ (a m. ant. in M superscr. θεοῖς) δ' ἔτ' ἰσχὺς καθυπερτέρα. 427 θεοῦ τε γὰρ θέλοντος — καὶ μὴ θέλοντος. 607 πληγεὶς θεοῦ μάστιγι παγκοίνῳ. 625 θεοῦ δὲ δῶρόν ἐστιν εὐτυχεῖν βροτούς. Pers. 93 δολόμητιν δ' ἀπάταν θεοῦ τίς ἀνὴρ θνατὸς ἀλύξει; Ag. 273 μὴ δολώσαντος θεοῦ. 603 σώσαντος θεοῦ. 735 ἐκ θεοῦ δ' ἱερεύς τις ἄτας δόμοις προσεθρέφθη. 928 τὸ μὴ κακῶς φρονεῖν θεοῦ μέγιστον δῶρον. Suppl. 1074 θεοῦ πάρα. Cum articulo Pers. 742 ὅταν σπεύδῃ τις αὐτός, χὠ θεὸς συνάπτεται.

Numero plurali Sept. 418 τὸν ἁμόν νυν ἀντίπαλον εὐτυχεῖν θεοὶ δοῖεν. 422 τούτῳ — εὐτυχεῖν δοῖεν θεοί. 566 εἴθε γὰρ θεοὶ τούσδ' ὀλέσειαν. 701 ὅταν ἐκ χερῶν θεοὶ θυσίαν δέχωνται. 773 τίν' ἀνδρῶν γὰρ τοσόνδ' ἐθαύμασαν θεοί; Pers. 348 θεοὶ πόλιν σῴζουσι. 282 θεοί addidit Hermannus. Ag. 461 τῶν πολυκτόνων γὰρ οὐκ ἄσκοποι θεοί. 813 δίκας γὰρ οὐκ ἀπὸ γλώσσης θεοὶ κλύοντες. 1148 περιβάλοντό οἱ πτεροφόρον δέμας θεοί. Ch. 76 ἀνάγκαν γὰρ ἀμφίπτολιν θεοὶ προσήνεγκαν. ‖ Genitivus Pr. 29 θεὸς θεῶν γὰρ οὐχ ὑποπτήσσων χόλον. 82 θεῶν γέρα συλῶν. 92 οἷα πρὸς θεῶν πάσχω θεός. 160 τίς ὧδε τλησικάρδιος θεῶν; 203 ὡς Ζεὺς μήποτ' ἄρξειεν θεῶν. 903 μηδὲ κρεισσόνων ἐμοῦ θεῶν ἄφυκτον ὄμμα προσδράκοι με. 913 οὐδεὶς θεῶν. 954 ὡς θεῶν ὑπηρέτου. 1027. Sept. 1016. Eum. 70 θεῶν τις. Sept. 14 θεῶν ἐγχωρίων βωμοῖσι 23 καλῶς τὰ πλείω πόλεμος ἐκ θεῶν κυρεῖ. Pers. 373 τὸ μέλλον ἐκ θεῶν. et sic ἐκ θεῶν Ag. 1026 1279 1284. Ch. 1006. Eum. 392. Suppl. 163 175. et Fr. 306a. Sept. 92 τίς ἄρ' ἐπαρκέσει θεῶν ἢ θεᾶν; 185 βρέτη πεσούσας πρὸς πολισσούχων θεῶν. 217 [551.] Eum. 411. Suppl. 896 πρὸς θεῶν. Sept. 219 θεῶν ἅδε πανάγυρις. 233 διὰ θεῶν πόλιν νεμόμεθ' ἀδάματον. 275 ἑστίας θεῶν. 562 θεῶν θελόντων. 606 θεῶν ἀμνήμοσι. 653 θεῶν μέγα στύγος. 719. Pers. 294 θεῶν διδόντων. Sept. 1018 ἄγος — θεῶν πατρῴων. [1051 ὑστάτη θεῶν.] Pers. 150 θεῶν ἴσον ὀφθαλμοῖς φάος. 164 οὐκ ἄνευ θεῶν τινός. 362 τὸν θεῶν φθόνον. 404 θεῶν τε πατρῴων ἕδη. 604 τἀνταῖα φαίνεται θεῶν. 749 θεῶν δὲ πάντων. 809 θεῶν βρέτη. Ag. 88 πάντων δὲ θεῶν. 339 et 527 θεῶν ἱδρύματα. 396 οὔτις θεῶν. 553 πλὴν θεῶν. 596 ἐν θεῶν ἕδραις. 637 χωρὶς ἡ τιμὴ θεῶν. 946 θεῶν — φθόνος. 1289 ἐν θεῶν κρίσει. 1645 χώρας μίασμα καὶ θεῶν ἐγχωρίων. Ch. 122 θεῶν πάρα. 475 θεῶν τῶν κατὰ γᾶς ὅδ' ὕμνος. 782 σὺν θεῶν δόσει. 784 πάτερ Ζεῦ θεῶν Ὀλυμπίων. 1028 θεῶν στύγος. Eum. 1 πρῶτον μὲν εὐχῇ τῇδε πρεσβεύω θεῶν τὴν πρωτόμαντιν Γαῖαν. 55 πρὸς θεῶν ἀγάλματα. 73 μισήματ' ἀνδρῶν καὶ θεῶν Ὀλυμπίων. 109 ὥραν οὐδενὸς κοινὴν θεῶν. 171 παρὰ νόμον θεῶν. 197 οὔτις — θεῶν. 361 θεῶν δ' ἀτέλειαν. 386 λάχη θεῶν διχοστατοῦντα. 644 στύγη θεῶν. 827 μόνη θεῶν. 845 879 θεῶν — δόλοι. 919 φρούριον θεῶν. 967 τιμιώταται θεῶν. Suppl. 161 μὴ τυχοῦσαι θεῶν Ὀλυμπίων. 189 332 355 τῶνδ' ἀγωνίων θεῶν. 363 θεῶν λήματα. 413 ἐν θεῶν ἕδραισιν. 501 θεῶν ἕδρας. 503 ἐφέστιον θεῶν. 590 τίν' ἂν θεῶν — κεκλοίμαν; 725 773 μάμελεῖν θεῶν. 755 θεῶν σέβη. 758 θεῶν οὐδὲν ἐπαΐοντες. 927 τοὺς θεῶν συλήτορας. 1014 πρὸς θεῶν Ὀλυμπίων. 1062 τὰ θεῶν. Fr. 155 οἱ θεῶν ἀγχίσποροι. 156 μόνος θεῶν γὰρ Θάνατος οὐ δώρων ἐρᾷ. ‖ Dativus Pr. 9 δεῖ θεοῖς δοῦναι δίκην. 37 τὸν θεοῖς ἔχθιστον. 49 θεοῖσι κοιρανεῖν. 120 τὸν πᾶσι θεοῖς δι' ἀπεχθείας ἐλθόντα. 354 πᾶσιν ὃς ἀνέστη θεοῖς. 404 θεοῖς τοῖς πάρος. 439 θεοῖσι τοῖς νέοις τούτοις. 940 δαρὸν γὰρ οὐκ ἄρξει θεοῖς. Sept. 212 θεοῖσι πίσυνος. 231 σφάγια καὶ χρηστήρια θεοῖσιν ἔρδειν. [275 ταυροκτονοῦντας θεοῖσιν.] 279 ἐπεύχου — θεοῖς. 450 σύν τ' ἄλλοις θεοῖς. 524 δαροβίοισι θεοῖσι. 580 θεοῖσι προσφιλές. 702 θεοῖς μὲν ἤδη πως παρημελήμεθα. 720 οὐ θεοῖς ὁμοίαν. 1047 ἤδη τὰ τοῦδ' οὐ διατετίμηται θεοῖς. Pers. 229 πάντα θήσομεν θεοῖσι. 522 θεοῖς μὲν πρῶτον εὔξασθαι θέλω. 622 νερτέροις θεοῖς. Ag. 317 θεοῖς — προσεύξομαι. 345 θεοῖς δ' ἀναμπλάκητος εἰ μόλοι στρατός.

539 οὐκέτ' ἀντερῶ θεοῖς. 578 θεοῖς — τοῖς καθ' Ἑλλάδα. 649 οὐκ ἀμήνιτον θεοῖς. 821 τούτων θεοῖσι χρὴ πολύμνηστον χάριν τίνειν. 829 θεοῖς μὲν ἐξέτεινα φροίμιον τόδε. 852 θεοῖσι πρῶτα δεξιώσομαι. 913 933 961 et Ch. 148 ξὺν θεοῖς. 637 τὸ δυσφιλὲς θεοῖς. 780 μέλει θεοῖσιν. Eum. 191 ἀπόπτυστοι θεοῖς. 233 ἐν βροτοῖσι κἀν θεοῖς. Suppl. 122 θεοῖς δ' ἐναγέα τέλεα. 242 πρὸς θεοῖς ἀγωνίοις. 451 πεσεῖν χρηστήρια θεοῖσι πολλοῖς πολλά. 754 σοί τε καὶ θεοῖσιν. 809 μέλη λιτανὰ θεοῖσι. 921 θεοῖσιν εἰπών. 981 ὡς θεοῖς Ὀλυμπίοις. 1016 θεοῖς βεβούλευται. [Fr. (Euripidis) 369 μὴ τεθυμῶσθαι θεοῖς.] ‖ Accusativus Pr. 529 θεοὺς ὁσίαις θοίναις ποτινισσομένα. 945 τὸν ἐξαμαρτόντ' εἰς θεούς. Sept. 217 θεοὺς τοὺς τῆς (correxi θεοὺς ἕδρας) ἁλούσης πόλεος ἐκλείπειν λόγος. 223 θεοὺς καλοῦσα. 266 συμμάχους εἶναι θεούς. 441 et Suppl. 733 θεοὺς ἀτίζων. Sept. 511 ξυνοίσετον δὲ πολεμίους ἐπ' ἀσπίδων θεούς. 582 θεοὺς τοὺς ἐγγενεῖς. 596 δεινὸς ὃς θεοὺς σέβει. 639 θεοὺς γενεθλίους καλεῖ. Pers. 216 θεοὺς δὲ προστροπαῖς ἱκνουμένη. 497 θεοὺς δέ τις τὸ πρὶν νομίζων οὐδαμοῦ. 741 τάδ' ηὔχουν ἐκτελευτῆσαι θεούς. Ag. 1 θεοὺς μὲν αἰτῶ τῶνδ' ἀπαλλαγὴν πόνων. 353 θεοὺς προσειπεῖν εὖ παρασκευάζομαι. 370 οὐκ ἔφα τις θεοὺς βροτῶν ἀξιοῦσθαι μέλειν. 844 πρὸς πόλιν τε καὶ θεούς. 922 θεούς τοι τοῖσδε τιμαλφεῖν χρεών. 1579 θεοὺς ἄνωθεν γῆς ἐποπτεύειν ἄχη. Eum. 20 τούτους ἐν εὐχαῖς φροιμιάζομαι θεούς. Suppl. 520 θεοὺς ἐγχωρίους λιταῖς παραιτοῦ. 655 θεοὺς ἀρέσονται. 704 733 θεοὺς δ' — ἀεὶ τίοιεν. 873 κάλει θεούς. 1019 μάκαρας θεούς. ‖ Vocativus Sept. 69 ὦ Ζεῦ τε καὶ Γῆ καὶ πολισσοῦχοι θεοί. 86. Ch. 462. Eum. 778 808 ἰὼ θεοί. Sept. 109 ἰὼ ἰὼ θεοὶ πολίοχοι χθονός. 166 ἰὼ παναλκεῖς θεοί. 253 θεοὶ πολῖται. 301 Διογενεῖς θεοί. Suppl. 630 θεοὶ Διογενεῖς κλύοιτε. Sept. 313 ὦ πολιοῦχοι θεοί. 626 κλύοντες θεοὶ δικαίας λιτάς. Ch. 802 κλύετε, σύμφρονες θεοί. Suppl. 25 ὕπατοί τε θεοὶ καὶ βαρύτιμοι χθόνιοι. 77 θεοὶ γενέται κλύετε.

Numero plurali cum articulo Pers. 689 οἱ κατὰ χθονὸς θεοί. Eum. 162 οἱ νεώτεροι θεοί. Pr. 222 736 ὁ τῶν θεῶν τύραννος. Ch. 902 ἅπαντας ἐχθροὺς τῶν θεῶν ἡγοῦ πλέον. Suppl. 493 τῶν πολισσούχων θεῶν βωμούς. Sept. 271 τοῖς πολισσούχοις θεοῖς. Ch. 212 τοῖς θεοῖς τελεσφόρους εὐχὰς ἐπαγγέλλουσα. Eum. 722 ἔν τε τοῖς νέοισι καὶ παλαιτέροις θεοῖς. Pr. 960 τοὺς νέους θεούς. 975 τοὺς πάντας ἐχθαίρω θεούς. Ag. 338 τοὺς πολισσούχους θεούς. 513 τούς τ' ἀγωνίους θεοὺς πάντας προσαυδῶ. Ch. 201 εἰδότας μὲν τοὺς θεοὺς καλούμεθα. Suppl. 921 τοὺς θεοὺς οὐδὲν σέβει.

ἡ θεός *dea*. Sept. 719 τὰν ὠλεσίοικον θεόν. Eum. 297 κλύει δὲ καὶ (Minerva) πρόσωθεν ὢν θεός, ubi notandum ὢν θεός sententia generali dictum pro οὖσα θεός. 766 οἷον ἔρνος οὔτις ἂν τέκοι θεός. 883 θεὸς παλαιά. Suppl. 299 Ἀργεία θεός (Iuno). 1038 αἰολόμητις θεός (Venus).

Nominis θεός casus obliqui et nominativus θεοί interdum fiunt monosyllabi per synizesin, apud Sophoclem, de quo dixi in Lexico Soph. p. 221, et Euripidem frequentius quam apud Aeschylum. [Sept. 276 ταυροκτονοῦντας θεοῖσιν.] Pers. 157 versu trochaico θεοῦ μὲν εὐνάτειρα Περσῶν, θεοῦ δὲ καὶ μήτηρ ἔφυς. In choriambico Sept. 701 ὅταν ἐκ χερῶν θεοὶ θυσίαν δέχωνται. In Ionico Pers. 94 ἀπάταν θεοῦ. Suppl. 1019 μάκαρας θεούς. In anapaestis Suppl. 164 ἐκ θεῶν: v. s. v. Ἰώ.

θεόσσυτος. V. θεόσυτος.

θεοστύγητος *diis exosus*. Ch. 635 θεοστυγήτῳ δ' ἄχει βροτῶν ἀτιμωθὲν οἴχεται γένος.

θεόσυτος *a deo missus*. Pr. 116 θεόσυτος ἢ βρότειος ἢ κεκραμένη. 596 θεόσυτόν τε νόσον ὠνόμασας. ‖ θεόσσυτος Pr. 643 θεόσσυτον χειμῶνα.

θεοτίμητος *a diis honoratus*. Ag. 1337 θεοτίμητος δ' οἴκαδ' ἱκάνει.

θεότρεπτος *a diis conversus*. Pers. 904 θεότρεπτα τάδ' αὖ φέρομεν.

θεοφιλής *diis carus*. Fr. 281, 3 θεοφιλεῖς ἐμὰς τύχας. Eum. 869 χώρας μετασχεῖν τῆσδε θεοφιλεστάτης.

θεοφόρητος *divino numine instinctus*. Ag. 1140 φρενομανής τις εἶ θεοφόρητος.

θεοφόρος *deum ferens*. Fr. 224 καὶ νίπτρα δὴ χρὴ θεοφόρων ποδῶν φέρειν. ‖ θεόφορος *qui divino motu fertur, numine afflatus*. Ag. 1150 πόθεν ἐπισσύτους θεοφόρους τ' (τ' delet Hermannus) ἔχεις ματαίους δύας; nisi hic quoque θεοφόρος est *deum in se ferens*.

θεραποντίς *ancillaris*. Suppl. 979 θεραποντίδα φερνήν.

θερίζω *meto*. Suppl. 636 τὸν ἀρότοις θερίζοντα βροτοὺς ἐν ἄλλοις.

θερμαίνω *calefacio*. Pers. 505 ἡλίου κύκλος μέσον πόρον διῆκε, θερμαίνων φλογί. [Ch. 1004 τῷδέ τἂν δολώματι πολλοὺς ἀναιρῶν πολλὰ θερμαίνοι φρενί, ubi θερμαίνοι tum mire dictum est ut ne interpolatori quidem, qui hos versus scripsit, relinquendum esse videatur, qui fortasse θέρμ' ἄνοι scripserat, i. e. *audacia* s. *improba*.]

[θερμοεργός. V. θερμός.]

θερμόνους *mentem calentem habens, inflammatus*. Ag. 1172 ἐγὼ δὲ θερμόνους τάχ' ἐν πέδῳ βαλῶ.

θερμός *fervidus*. Pr. 371 θερμοῖς ἀπλάτου βέλεσι πυρπνόου ζάλης. Ag. 1278 θερμῷ κοπείσης φοινίῳ προσφάγματι. Ch. 272 δυσχειμέρους ἄτας ὑφ' ἧπαρ θερμὸν ἐξαυδώμενος. 670 θερμὰ λουτρά. Fr. 192, 7 θερμαῖς ὕδατος μαλακοῦ προχοαῖς. ‖ *audax, improbus*. Sept. 602 ξυνεσβὰς πλοῖον εὐσεβὴς ἀνὴρ ναύταισι θερμοῖς. Eum. 560 γελᾷ δὲ δαίμων ἐπ' ἀνδρὶ θερμῷ. Sic Triclinius. θερμοεργῷ M ex glossemate.

Θερμώδων *Thermodon*, fluvius Cappadociae. Pr. 725 αἳ Θεμίσκυράν ποτε κατοικιοῦσιν ἀμφὶ Θερμώδοντα.

θέρος *aestas*. Pr. 456 τέκμαρ — καρπίμου θέρους βέβαιον. Ag. 5 τοὺς φέροντας χεῖμα καὶ θέρος βροτοῖς. ‖ *messis*. Figurate Pers. 822 ὕβρις γὰρ ἐξανθοῦσ' ἐκάρπωσε στάχυν ἄτης, ὅθεν πάγκλαυτον ἐξαμᾷ θέρος. Ag. 1655 ἀλλὰ καὶ τάδ' ἐξαμῆσαι πολλὰ δύστηνον θέρος. Sic Schuetzius correxit pro ὁ ἔρως.

θέσμιος *legitimus*. Ag. 1564 παθεῖν τὸν ἔρξαντα· θέσμιον γάρ. ‖ θέσμιον substantive *lex*. Eum. 491 καταστροφαὶ νέων θεσμίων. Suppl. 708 τρίτον τόδ' ἐν θεσμίοις Δίκας γέγραπται μεγιστοτίμου.

θεσμός *institutum, lex*. Ag. 304 ὤτρυνε θεσμὸν μὴ χαρίζεσθαι (sic correxi pro χαρίζεσθαι) πυρός. Eum. 391 θεσμὸν τὸν μοιρόκραντον ἐκ θεῶν δοθέντα. 484 θεσμὸν τὸν εἰς ἅπαντ' ἐγὼ θήσω χρόνον. 571 μαθεῖν θεσμοὺς ἐμούς. 615 λέξω πρὸς ὑμᾶς τόνδ' Ἀθηναίας μέγαν θεσμόν. 681 κλύοιτ' ἂν ἤδη θεσμόν. ‖ De modo musico, ut νόμος, Suppl. 1035 Κύπριδος δ' οὐκ ἀμελεῖ θεσμὸς ὅδ' εὔφρων, secundum schol. qui exp. ὁ τοῦ ἡμετέρου ὕμνου νόμος.

θεσπέσιος *divina eloquens.* Ag. 1154 πόθεν ὅρους ἔχεις θεσπεσίας ὁδοῦ κακορρήμονας;

θεσπίζω *vaticinor.* Ag. 1210 ἤδη πολίταις πάντ' ἐθέσπιζον πάθη. 1213 ἡμῖν γε μὲν δὴ πιστὰ θεσπίζειν δοκεῖς.

θέσπισμα *vaticinium.* Fr. 82 Ζεὺς ἐγκαθίει Λοξίᾳ θεσπίσματα.

θεσπιῳδέω *oracula cano, vaticinor.* Ag. 1161 ἔοικα θεσπιῳδήσειν τάχα.

θεσπιῳδός *fatidicus.* Ag. 1134 πολυεπεῖς τέχναι θεσπιῳδοί. Sic Hermannus: θεσπιῳδὸν φόβον cet. M.

Θεσπρωτός *Thesprotus.* Pr. 831 Δωδώνην, ἵνα μαντεῖα θᾱκός τ' ἐστι Θεσπρωτοῦ Διός.

Θεσσαλός *Thessalus.* Pers. 489 Θεσσαλῶν πόλισμα.

Θεστιάς *Thestias, Thestii filia* (Althaea). Ch. 605 ἁ παιδολυμὰς τάλαινα Θεστιάς.

θεσφατηλόγος *fatidica, vaticinans.* Ag. 1441 θεσφατηλόγος πιστὴ ξύνευνος. Vocabulum alibi non lectum.

θέσφατον *oraculum, vaticinium.* Sept. 618 εἰ καρπὸς ἔσται θεσφάτοισι Λοξίου. 844 θέσφατ' οὐκ ἀμβλύνεται. Pers. 740 Ζεὺς ἐπέσκηψεν τελευτὴν θεσφάτων. 801 εἴ τι πιστεῦσαι θεῶν χρὴ θεσφάτοισιν. Ag. 1113 ἐπαργέμοισι θεσφάτοις ἀμηχανῶ. 1130 θεσφάτων γνώμων ἄκρος. 1132 ἀπὸ δὲ θεσφάτων τίς ἀγαθὰ φάτις βροτοῖς στέλλεται; Eum. 594 τοῖς τοῦδε θεσφάτοισι.

θέσφατος *vaticinio praedictus.* Ag. 1321 οἰκτείρω σε θεσφάτου μόρου.

θετός *simulatus, fictus.* Ch. 738 Αἴγισθον ἡ κρατοῦσα δωμάτων γυνὴ | πρὸς τοὺς μολόντας ἀρτίως ξένους (sic verba defecta κρατοῦσα τοὺς ξένους redintegravit Weilius) καλεῖν | ὅπως τάχιστ' ἄνωγεν, ὡς σαφέστερον | ἀνὴρ ἀπ' ἀνδρὸς τὴν νεάγγελτον φάτιν | ἐλθὼν πύθηται τήνδε, πρὸς μὲν οἰκέτας | θετῶν σκυθρωπῶν (sic Victorius pro σκυθρωπὸν) ἐντὸς ὀμμάτων γέλων | κεύθουσ' et quae sequuntur. Nam sic corrigendum quod in M scriptum est θέτο σκυθρωπόν, quod Erfurdtio θετοσκυθρωπὸν scribendum videbatur, adiectivo parum probabiliter composito, i. e. *adoptivae maestitiae signa simulantem visum oculis celans.* ‖ De filio adoptivo dictum ex Aeschylo annotatum est in Etym. Florentino apud Millerum in *Mélanges de L. Gr.* p. 147 θετὸς υἱός: προσποιητὸς παρ' Αἰσχύλῳ (fr. 366). τίθημι θήσω θετός. Quae omissis verbis παρ' Αἰσχύλῳ leguntur etiam in Etymologici codice Vossiano. In Etym. M. p. 448, 21, verbis παρ' Αἰσχύλῳ pariter omissis, legitur θετὸς υἱός: προσποιητός· τοὺς γὰρ εἰσποιητοὺς καὶ θετοὺς ἔλεγον καὶ θέτην τὸν εἰσποιησάμενον παῖδας θετούς. Mirum est προσποιητός pro εἰσποιητός, usitato in hac re vocabulo, dici, quod ipsum pro προσποιητός restitui volebat Larcherus. Fortasse igitur duae fuerunt antiquiores glossae, altera, ad Χοηφόρων versum 378 referenda, θετός: προσποιητὸς παρ' Αἰσχύλῳ, altera θετὸς υἱός: εἰσποιητός· τοὺς γὰρ εἰσποιητούς cet. Quae usitata est vocabuli θετός significatio. Prioris vero significationis *simulatus* s. *fictus* nulla praeter Χοηφόρων versum exempla novimus, ut operae pretium fecerit grammaticus quum eam ex Aeschylo annotaret.

θεωρέω *specto.* Pr. 302 ἢ θεωρήσων τύχας ἐμὰς ἀφῖξαι;

θεωρία *spectaculum.* Pr. 802 ἄλλην δ' ἄκουσον δυσχερῆ θεωρίαν.

θεωρίς *navis qua vehuntur theori.* Sept. 858 τὰν ναύστολον μελάγκροκον θεωρίδα.

θεωρός *spectator.* Pr. 118 πόνων ἐμῶν θεωρός. Ch. 246 θεωρὸς τῶνδε πραγμάτων γενοῦ. Fr. 391 τοιοῦδε πράγματος θεωρὸς ὤν. ‖ Θεωροὶ ἢ Ἰσθμιασταί inscripta fuit Aeschyli fabula (fr. 73—76).

Θῆβαι *Thebae* (Aegyptiae). Pers. 38 τάς τ' ὠγυγίους Θήβας ἐφέπων.

θηγάνω *acuo.* Ag. 1535 δίκην δ' ἐπ' ἄλλο πρᾶγμα θηγάνει βλάβης πρὸς ἄλλαις θηγάναισι Μοῖρα. In M θήγει. Correxit Hermannus ex gl. Hesychii θηγάνει: ὀξύνει.

θηγάνη *cos.* Improprie Ag. 1537 πρὸς ἄλλαις θηγάναισι. Eum. 859 σὺ δ' ἐν τόποισι τοῖς ἐμοῖσι μὴ βάλῃς μήθ' αἱματηρὰς θηγάνας, σπλάγχνων βλάβας νέων.

θήγω *acuo.* Ag. 1262 θήγουσα φωτὶ φάσγανον. Pr. 311 τραχεῖς καὶ τεθηγμένους λόγους. Sept. 715 τεθηγμένον τοί μ' οὐκ ἀπαμβλυνεῖς λόγῳ.

θήκη *sepulcrum.* Pers. 405 θεῶν τε πατρῴων ἕδη θήκας τε προγόνων. Ag. 453 θήκας Ἰλιάδος γᾶς εὔμορφοι κατέχουσιν. Suppl. 26 ὕπατοί τε θεοὶ καὶ βαρύτιμοι χθόνιοι θήκας κατέχοντες.

θηκτός *acutus.* Sept. 944 θηκτὸς σίδαρος.

θηλυγενής *muliebris.* Suppl. 29 τὸν θηλυγενῆ στόλον.

θηλυκρατής *feminis imperans.* Ch. 600 θηλυκρατὴς ἔρως.

θηλυκτόνος *muliebri manu interficiens* Pr. 860 θηλυκτόνῳ Ἄρει δαμέντων.

θηλύνους *muliebri* s. *molli animo praeditus.* Pr. 1003 θηλύνους γενήσομαι.

θῆλυς *muliebris.* Ag. 485 ὁ θῆλυς ὅρος. 1231 θῆλυς ἄρσενος φονεύς ἐστιν. 1671 ἀλέκτωρ ὥστε θηλείας πέλας. Ch. 305 θήλεια γὰρ φρήν. 502 οἴκτειρε θῆλυν ἄρσενός θ' ὁμοῦ γόνον. 821 θῆλυν οὐριοστάταν — νόμον.

θηλύσπορος *muliebris.* Pr. 855 γέννα πεντηκοντάπαις — θηλύσπορος, i. e. θήλεια σπορά. Agitur enim de quinquaginta Danai filiabus.

θήν, particula enclitica, qua asseverandi causa epici potissimum poetae utuntur, idem fere significans quod Latine dicitur *profecto,* quanquam hoc paullo gravius vocabulum est quam Graecum θήν. Pr. 928 σύ θην ἃ χρῄζεις πάντ' ἐπιγλωσσᾷ Διός. [Restituendum fortasse Pers. 584 τοὶ δ' ἀνὰ γᾶν Ἀσίαν θὴν οὐκέτι περσονομοῦνται. ubi δὴν legitur in M.]

